λευκοφορούντων, τὸ δὲ ἕτερον Αἰθιόπων. Ὡς οὖν εἰσήνεγκέν
white-robed the and other of-Ethiopians as then he-brought
με εἰς τὸ σκάμμα τοῦ θεάτρου, θεωρῶ ἄνδρα Αἰθίοπα,
me into the arena of-the theater I-see man Ethiopian
ὑπερμεγέθη, οὗ ἡ κεφαλὴ ἐπὶ τῶν νεφελῶν ὑπῆρχεν,
huge whose the head on the clouds was
γενναῖον καὶ δυσειδῆ. Τότε λέγει μοι ὁ φανείς μοι
noble and ugly then says to-me the having-appeared to-me
νεανίας, Μετὰ τούτου ἔχεις παλαῖσαι. Ἐγὼ δὲ ὡς εἶδον τὸν
youth with this(-one) you-have to-wrestle I and as I-saw the

ἄνδρα, δειλιάσας ἠρξάμην τρέμειν, καὶ καταπλήττειν, καὶ
man having-been-afraid began to-tremble and to-be-terrified and
παρακαλεῖν ἀπάγοντά με, λέγων· Τίς δύναται ἀνθρώπων
to-beg him-leading me saying who can of-men
φύσιν ἔχων θνητὴν μετὰ τούτου παλαῖσαι; εἴσελθε οὖν
nature having mortal with this(-one) to-wrestle go-in then
μετὰ πάσης προθυμίας. Ἅμα γὰρ τῷ διαιρήσασθαι, ἐγὼ
with all eagerness at-once for with-the to-grapple I
βραβεύω, καὶ νικητικόν σοι στέφανον παρέχω. Ὡς οὖν
award-the-prize and victorious to-you crown provide as then
εἰσῆλθεν εἰς τὸ σκάμμα, καὶ ἠρξάμεθα πρὸς ἀλλήλους
he-went-in into the arena and we-began toward one-another
διαιρεῖσθαι, εὐθέως ἐλθὼν ὁ καλὸς βραβευτὴς, καὶ
to-grapple at-once having-come the fair umpire and
βραβεύσας δίδωσίν μοι στέφανον. Καὶ ὁ μὲν δῆμος τῶν
having-awarded gives me crown and the indeed people of-the
Αἰθιόπων ὀλολύξαντες ἄφαντοι γεγόνασιν. Τὸ δὲ ἄλλο
Ethiopians having-howled invisible became the and other
μέρος τῶν ἀσπροφορούντων ἐπαίνους ἀνέπεμπον πρὸς
part of-the white-robed praises sent-up to
τὸν ἐπινεύσαντα, καὶ παρασχόντα μοι τὴν καλὴν νίκην.
the(-one) having-consented and having-provided me the fair victory

67 Περὶ τούτου τοῦ ἀββᾶ Θεοδοσίου τοῦ Ἡσυχαστοῦ διηγήσατο
about this — of-abba Theodosius the Hesychast related
ἡμῖν ὁ ἀββᾶς Κυριακὸς ὁ μαθητὴς αὐτοῦ, λέγων ὅτι,
to-us — abba Cyriacus the disciple of-him saying that
Τριακονταπέντε ἔτη ἐποίησεν ὁ γέρων ἡσυχάζων, δύο
thirty-five years spent the old-man being-still two
ἡμέρας νηστεύων, καὶ σιωπήσας τὸ σύνολον, μήτε
days fasting and having-kept-silent at all nor
λαλήσας πρός τινα. Ἀλλ' εἰ ἄρα τίποτ' οὖν εἶπει, διὰ
having-spoken to anyone but if then anything at-all he-said by

ψήφου ἐδήλου. Τοῦτον κἀγὼ ἑώρακα ἐν τῇ αὐτῇ λαύρᾳ
pebble he-indicated him I-too have-seen in the same laura
τῶν Αἰλιωτῶν. Ἔμεινα γὰρ ἐν αὐτῇ ἔτη δέκα.
of-the Aeliotes I-remained for in it years ten
Περὶ τούτου τοῦ ἀββᾶ Θεοδοσίου ἀκούσας Ἀβράμιος ὁ 68
about this — of-abba Theodosius having-heard Abramius the
ἡγούμενος τῆς ἁγίας Θεοτόκου Μαρίας τῆς Νέας, ὅτι
abbot of-the holy God-bearer Mary the New that
οὐκ εἶχεν ἱμάτιον ἐν τῷ χειμῶνι φορέσαι, ἠγόρασεν αὐτῷ
not he-had garment in the winter to-wear bought for-him
καμίσιον. Καὶ δὴ ὡς ἐφόρει αὐτὸ ἐν μιᾷ καὶ καθεύδει·
shirt and indeed as he-wore it on one(-day) and sleeps
ἐκάθευδεν γὰρ εἰς θρόνιον ὁ γέρων· ἀνῆλθον λῃσταὶ, καὶ
he-slept for on chair the old-man came-up robbers and
ἀπέδυσαν αὐτὸν τὸ κουσούλλιον, καὶ λαβόντες ἀπῆλθον·
stripped him the cowl and having-taken(-it) went-off
καὶ τούτου γινομένου, οὐδὲν ὅλως ἐλάλησεν ὁ γέρων.
and this happening nothing at-all spoke the old-man
Παρεβάλομεν ἐν Ἀλεξανδρείᾳ, ἐγὼ καὶ ὁ κῦρις Σωφρόνιος 69
we-visited in Alexandria I and the lord Sophronius
ὁ σοφιστὴς, πρὸ τοῦ ἀποτάξασθαι αὐτὸν, πρὸς τὸν ἀββᾶν
the sophist before the to-renounce him to — abba
Παλλάδιον, ἄνδρα θεοφιλῆ καὶ δοῦλον Θεοῦ, ἔχοντα τὸ
Palladius man God-loving and servant of-God having the
μοναστήριον αὐτοῦ εἰς τὸν Λιθαζόμενον καὶ παρεκαλοῦμεν
monastery of-him at the Lithazomenon and we-begged
αὐτὸν λόγον εἰπεῖν ἡμῖν ὠφελείας. Ὁ δὲ γέρων ἤρξατο
him word to-say to-us of-benefit the and old-man began
ἡμῖν λέγειν· Τέκνα, ὁ καιρὸς τὸ λοιπὸν συνεσταλμένος
to-us to-say children the time the rest having-been-shortened
ἐστίν· ἀγωνισώμεθα ἐνταῦθα ὀλίγον, καὶ πονέσωμεν, ἵνα
is let-us-contend here little and let-us-toil so-that

μεγάλων ἀγαθῶν εἰς αἰῶνα ἀπολαύσωμεν. Βλέπετε τοὺς
of-great goods for age we-may-enjoy see the
μάρτυρας, βλέπετε τοὺς ὁσίους, βλέπετε τοὺς ἀσκητὰς,
martyrs see the holy(-ones) see the ascetics
πῶς ὑπέμειναν ὡς ἀνδρεῖοι. Οὓς ὁ μὲν παρελθὼν οἶδεν
how they-endured as brave(-men) whom the indeed past knows
χρόνος, θαυμάζομεν δὲ ἀεὶ τούτων ἡμεῖς τὸ καρτερικόν.
time we-marvel and always of-these we the endurance
Μαρτυρεῖ δέ που καὶ τῶν ἀκουόντων ἕκαστος πολλῷ
testifies and somehow also of-the(-ones) hearing each with-much
τῷ θάμβει, τὴν ὑπομονὴν τῶν μακαρίων μαρτύρων,
the amazement to-the endurance of-the blessed martyrs
τὴν ὑπὲρ πᾶσαν φύσιν ἀνθρώπων· ὀφθαλμοὺς ὅπως
the(-endurance) beyond all nature of-men eyes how
ἐξορύττοντο· οἱ δὲ σκέλη ὅπως ἐξεκόπτοντο· καὶ
they-were-dug-out the(-ones) and legs how they-were-cut-off and
οἱ μὲν χεῖρας, οἱ δὲ πόδας ἐπηροῦντο. Καὶ τοὺς
the(-ones) indeed hands the(-ones) and feet were-maimed and the(-ones)
μὲν ἀθρόον πῦρ, τοὺς δὲ σχολαῖον ὅπως ἀνήλισκεν·
indeed all-at-once fire the(-ones) and slow how it-consumed
καὶ τοὺς μὲν ὅπως ποταμοὶ, τοὺς δὲ θάλασσα
and the(-ones) indeed how rivers the(-ones) and sea
κατεπόντιζεν· καὶ τοὺς μὲν ζῶντας ὅπως ὥσπερ τινὰς
drowned and the(-ones) indeed living how as some
κακούργους ὠμοβόροι θῆρες διεχωρίζοντο, τοὺς δὲ ἄλλους
criminals raw-eating beasts tore-apart the(-ones) and others
καὶ καιναῖς ἐπινοίαις προαποθανόντας οἰωνοὶ κατεσθίοντο·
also by-new devices having-died-first birds devoured
καὶ ὅλως εἰ πάσας τὰς κατ' αὐτῶν ἐπινοηθείσας τῶν
and wholly if all the against them devised of-the
κακῶν εἰδέας εἴποι τις, ὅσας ὁ ἐχθρὸς δαίμων
evils forms should-tell anyone as-many-as the hostile demon

ἐπήγαγεν κατὰ τῶν θεοφιλῶν μαρτύρων καὶ ἀσκητῶν,
brought-on against the God-loving martyrs and ascetics
ὅπως ὑπέμειναν, ὅπως ἠγωνίσαντο· τὴν μὲν ἀσθένειαν
how they-endured how they-contended the indeed weakness
τοῦ σώματος, τῇ τῆς ψυχῆς ἀνδρείᾳ νικήσαντες· τὰ δὲ
of-the body by-the of-the soul courage having-conquered the and
ἐφ᾽ οἷς ἤλπισαν χρηστὰ τῶν παρόντων πόνων ἀξιώτερα
on which they-hoped good than-the present toils more-worthy
προσδοκήσαντες κομισάμενοι. Ἅπερ αὐτῶν ἐδείκνυεν τὴν
having-expected having-received which-very of-them showed the
εἰς ἑκάτερα πίστιν βεβαίαν· τὴν μὲν, ὅτι πονέσαντες
toward both faith firm the indeed that having-toiled
ὀλίγα, μεγάλων ἀγαθῶν εἰς αἰῶνας ἀπολαύουσιν· τὴν
little great goods for ages they-enjoy the
δὲ, ὅτι τὰς παραδόξους κατὰ τοῦ σώματος βασάνους,
and that the strange against the body tortures
ἃς ὁ ἐχθρὸς ἡμῶν διάβολος ἐπήγαγεν, γενναίως
which the enemy of-us devil brought-on nobly
ὑπέμειναν. Ἐὰν οὖν ὑπομείνωμεν τὰς θλίψεις, καὶ σὺν Θεῷ
they-endured if then we-endure the afflictions and with God
καρτερήσωμεν, φιλόθεοι ὄντως εὑρισκόμεθα, καὶ ὁ Θεὸς
persevere God-loving truly we-are-found and — God
ἔσται συναγωνιζόμενος ἡμῖν, καὶ κρειττόνως ἡμῖν ἀνήσει
will-be contending-alongside us and more-mightily for-us will-relax
τοὺς πόνους. Εἰδότες, τέκνα, τοίνυν τὸν καιρὸν, ποίας
the toils knowing children therefore the time what
ἐργασίας δεῖται, ἐπιγνῶμεν ἑαυτοὺς διὰ τῆς ἡσυχίας.
work it-needs let-us-know ourselves through the stillness
Ἐν τούτῳ γὰρ τῷ καιρῷ ἀναγκαῖον χρήσασθαι ἡμᾶς τῇ
in this for the time necessary to-use us the
καλῇ μετανοίᾳ, ὅπως ναοὶ Θεοῦ χρηματίσωμεν.
good repentance so-that temples of-God we-may-be-called

Οὐ γὰρ ἡ τυχοῦσα ἡμῖν γίνεται τιμὴ ἐν τῷ μέλλοντι
not for the chance to-us becomes honor in the coming
αἰῶνι.
age
Εἶπεν πάλιν· Μνημονεύσωμεν τοῦ μὴ ἔχοντος ποῦ τὴν
he-said again let-us-remember the(-one) not having where the
κεφαλὴν κλῖναι. Εἶπεν πάλιν ὁ γέρων· Ὅτι ἡ θλῖψις,
head to-lay he-said again the old-man that the affliction
κατὰ τὸν Παῦλον, ὑπομονὴν ἐργάζεται· δεκτικὸν οὖν
according-to — Paul endurance works receptive then
ποιήσωμεν τὸν ἑαυτῶν νοῦν τῆς βασιλείας τῶν οὐρανῶν.
let-us-make the our-own mind of-the kingdom of-the heavens
Εἶπεν πάλιν· Τέκνα, μὴ ἀγαπήσωμεν τὸν κόσμον, μηδὲ
he-said again children not let-us-love the world nor
τὰ ἐν τῷ κόσμῳ.
the(-things) in the world
Εἶπεν πάλιν ὁ γέρων· Τοὺς λογισμοὺς τηρήσωμεν, ὅπερ
he-said again the old-man the thoughts let-us-keep which-very
ἐστὶν φάρμακον σωτηρίας.
is medicine of-salvation
Ὁ αὐτὸς ἀββᾶς Παλλάδιος, ἐρωτηθεὶς ὑφ' ἡμῶν, ὅτι
the same abba Palladius having-been-asked by us that
Ποίησον ἀγάπην, Πάτερ, εἶπον ἡμῖν ποθεν καὶ ἐκ ποίων
do (an)-act-of-love Father tell us whence and from what
λογισμῶν ἦλθες εἰς τὸ μοναχικόν. Ἦν δὲ Θεσσαλονικεὺς
thoughts you-came to the monastic(-life) he-was and Thessalonian
ὁ γέρων, καὶ διηγήσατο ἡμῖν, λέγων, ὅτι Ἐν τῇ χώρᾳ μου
the old-man and related to-us saying that in the country of-me
ἔξωθεν τοῦ τείχους τῆς πόλεως ὡς ἀπὸ σταδίων τριῶν,
outside the wall of-the city as from stades three
ἔγκλειστος ἦν, τῷ μὲν γένει Μεσοποταμινὸς, τῷ ὀνόματι
recluse was by-the indeed race Mesopotamian by-the name

Δαβὶδ, ἐνάρετος πάνυ καὶ ἐλεήμων καὶ ἐγκρατευτής.
David virtuous very and merciful and continent
Ἐποίησεν ἐν τῷ ἐγκλειστηρίῳ περὶ τὰ ἑβδομήκοντα ἔτη.
he-spent in the reclusion about the seventy years
Ἐπειδὴ δὲ διὰ τοὺς βαρβάρους κατὰ νύκτα ἐφυλάσσοντο
since and for the barbarians by night were-guarded
τὰ τείχη τῆς πόλεως ὑπὸ τῶν στρατιωτῶν, οἱ κατ᾽
the walls of-the city by the soldiers the(-ones) in
ἐκεῖνο τὸ μέρος φυλάσσοντες τὸ τεῖχος, καθ᾽ οὗ μέρους
that the part guarding the wall in which part
καὶ τὸ ἐγκλειστήριον ὑπῆρχεν τοῦ γέροντος, θεωροῦσιν ἐν
also the reclusion was of-the old-man see on
μιᾷ νυκτὶ, ὅτι δι᾽ ὅλων τῶν θυρίδων τῆς κέλλης τοῦ
one night that through all the windows of-the cell of-the
ἐγκλείστου, πῦρ ἐξήρχετο. Ἐνόμισαν οὖν οἱ στρατιῶται,
recluse fire came-out thought then the soldiers
ὅτι βάρβαροι ἔβαλον πῦρ εἰς τὸ κελλίον τοῦ γέροντος.
that barbarians threw fire into the cell of-the old-man
Πρωΐας δὲ γενομένης ἐξελθόντες οἱ στρατιῶται, εὗρον
morning and having-come having-gone-out the soldiers found
τὸν γέροντα ἀβλαβῆ, καὶ τὴν κέλλαν ἀλώβητον, καὶ
the old-man unharmed and the cell undamaged and
ἐξέστησαν. Πάλιν δὲ τῇ ἐπιούσῃ νυκτὶ τὸ αὐτὸ ἐθεώρουν
they-were-amazed again and on-the following night the same they-saw
πῦρ εἰς τὴν κέλλαν τοῦ γέροντος· ἀλλὰ καὶ ἐπὶ πολὺν
fire in the cell of-the old-man but also for much
χρόνον ἐφαίνετο. Τοῦτο δὲ πάσῃ τῇ πόλει, καὶ τῇ χώρᾳ
time it-appeared this and to-all the city and the country
ἐκείνῃ κατάδηλον ἦν, ὥστε πολλοὺς ἀγρυπνεῖν εἰς τὸ
that manifest was so-that many to-keep-awake on the
τεῖχος κατὰ νύκτα τῆς τοῦ πυρὸς θέας ἕνεκεν. Ἔμεινε
wall by night of-the of-the fire sight for-the-sake-of it-remained

γὰρ γινόμενον ἕως τῆς τελευτῆς τοῦ γέροντος. Τοῦτο
for happening until the end of-the old-man this
τὸ θαῦμα οὐχ ἅπαξ, οὐδὲ δὶς μόνον, ἀλλὰ καὶ πολλάκις
the wonder not once nor twice only but also often
θεωρήσας, λέγω ἐν ἐμαυτῷ· Εἰ ἐν τῷ κόσμῳ τούτῳ
having-seen I-say in myself if in the world this
τοσαύτην δόξαν ὁ Θεὸς χαρίζεται τοῖς δούλοις αὐτοῦ,
such glory — God grants to-the servants of-him
ποίαν ἄρα ἐν τῷ μέλλοντι αἰῶνι, ὅτε καταλάμψει τὸ
what then in the coming age when will-shine the
πρόσωπον αὐτῶν ὡς ὁ ἥλιος; Αὕτη μοι γέγονεν αἰτία,
face of-them as the sun this to-me became cause
τέκνα, τοῦ ἐλθεῖν εἰς τὸ μοναχικὸν τοῦτο σχῆμα.
children of-the to-come to the monastic this habit

VI · CHAPTERS 70–78

Palladius tells of a barbarian whose sword arm freezes over the recluse Adolas, of a murderer who bids the monk following him to execution weep for his own sins, and of a young convert reprieved at the gibbet where his blaspheming partner hangs. A slave out to murder his mistress is struck blind at her door. A ship lies becalmed until a widow who killed her children is set in the skiff, which sinks. Moschus and Sophronius overhear a blind man tell how he was blinded robbing a tomb, and a young man tells John of the Giants how a girl he stripped in her grave sat up.

70 Ἔλεγεν δὲ ἡμῖν καὶ τοῦτο ὁ γέρων, ὅτι μετὰ τοῦ ἀββᾶ
he-said and to-us also this the old-man that with — abba
Δαυῒδ ἦλθεν καὶ ἄλλος μοναχὸς ὀνόματι Ἀδολᾶς, καὶ αὐτὸς
David came also other monk by-name Adolas also he
Μεσοποταμινὸς, καὶ ἐνέκλεισεν αὐτὸν εἰς τὸ ἀπὸ μέρος
Mesopotamian and shut-in himself at the from part

τῆς πόλεως εἰς πυθμένα πλατάνου. Ἐποίησεν δὲ ἐν αὐτῇ
of-the city in hollow of-plane-tree he-made and in it
μικρὰν θυρίδα· ὅθεν καὶ συνετύγχανεν τοῖς πρὸς αὐτὸν
small window whence also he-met the(-ones) to him
ἐρχομένοις. Ὅταν οὖν οἱ βάρβαροι ἦλθον, καὶ πᾶσαν
coming when then the barbarians came and all
τὴν χώραν ἐλεηλάτησαν, συνέβη αὐτοῖς διὰ τοῦ τόπου
the country plundered it-happened to-them through the place
ἐκείνου διέρχεσθαι· καὶ ἰδὼν εἷς τῶν βαρβάρων τὸν
that to-pass and having-seen one of-the barbarians the
γέροντα παρακύπτοντα, ἐξῆρεν τὸ ξίφος, καὶ ἀνατείνας
old-man peeping-out raised the sword and having-stretched-up
τὴν χεῖρα ἐπὶ τὸ δοῦναι αὐτὸν, ἔμεινεν ἐκτεταμένην
the hand for the to-give(-blow) him remained stretched-out
ἔχων τὴν χεῖρα καὶ ἀκίνητον. Τοῦτο θεασάμενοι καὶ οἱ
having the hand and motionless this having-beheld also the
λοιποὶ βάρβαροι, καὶ θαυμάσαντες, ἐδέοντο τοῦ γέροντος
other barbarians and having-marveled begged the old-man
προσπίπτοντες αὐτῷ. Καὶ ποιήσας εὐχὴν ὁ γέρων ἰάσατο
falling-down to-him and having-made prayer the old-man healed
αὐτὸν, καὶ οὕτω ἀπέλυσεν αὐτοὺς ἐν εἰρήνῃ.
him and thus released them in peace

Ὁ αὐτὸς πάλιν ἀββᾶς Παλλάδιος διηγήσατο ἡμῖν λέγων, 71
the same again abba Palladius related to-us saying
ὅτι Εἰς τὴν Ἀρσενοΐτην (πόλις δέ ἐστιν αὕτη τῆς Θηβαΐδος)
that in the Arsinoite city and is this of-the Thebaid
ἐκρατήθη τις φόνον ποιήσας, καὶ βασανισθεὶς πολλὰ,
was-seized someone murder having-done and having-been-tortured much
ἔλαβεν ἀπόφασιν, ἵνα ἀποκεφαλισθῇ. Ὡς οὖν ἀπήγετο
received sentence that he-should-be-beheaded as then he-was-led-off
ἔξω τῆς πόλεως ἀπὸ μιλίων ἓξ (ἐκεῖ γὰρ ἦν καὶ τὸν
outside the city from miles six there for was also the

φόνον ποιήσας), μοναχός τις ἠκολούθει ὀπίσω αὐτοῦ ὡς
murder having-done monk a-certain followed behind him as
ὀφείλων ἰδεῖν, πῶς ἀποκεφαλίζεται. Ἐν δὲ τῇ ὁδῷ ὑπάγων
owing to-see how he-is-beheaded on and the road going
ἀποκεφαλισθῆναι, θεωρήσας τὸν μοναχὸν ἀκολουθοῦντα,
to-be-beheaded having-seen the monk following
λέγει αὐτῷ· Ὄντως σοι, κῦρι ἀββᾶ, οὐκ ἔχεις κελλίον ἢ
says to-him really to-you lord abba not have-you cell or
ἐργόχειρον; Ἀπεκρίθη ὁ μοναχὸς, λέγων· Φύσει, ἀδελφὲ,
handiwork answered the monk saying truly brother
καὶ κελλίον, καὶ ἐργόχειρον ἔχω. Ὁ δὲ ἀποκριθεὶς λέγει
both cell and handiwork I-have he and having-answered says
αὐτῷ· Καὶ διὰ τί οὐ κάθῃ εἰς τὸ κελλίον σου, καὶ κλαίεις
to-him and for what not do-you-sit in the cell of-you and weep-for
τὰς ἁμαρτίας σου; Λέγει αὐτῷ ὁ μοναχός· Οὕτως, ἀδελφὲ,
the sins of-you says to-him the monk thus brother
πάνυ ἀμελῶ ἐμαυτοῦ. Καὶ διὰ τοῦτο ἔρχομαι θεωρῆσαι
very I-neglect myself and because-of this I-come to-see
πῶς ἀποθνήσκεις, ἵνα κἂν οὕτως εἰς κατάνυξιν ἔλθω.
how you-die so-that at-least thus to compunction I-may-come
Τότε λέγει αὐτῷ ἐκεῖνος· Ὕπαγε, κῦρι ἀββᾶ, κάθου εἰς τὸ
then says to-him that(-one) go lord abba sit in the
κελλίον σου, καὶ εὐχαρίστησον τῷ Θεῷ τῷ σώσαντι ἡμᾶς.
cell of-you and give-thanks — to-God the having-saved us
Ἀφ' οὗ γὰρ αὐτὸς ἐνηνθρώπησεν, καὶ ἀπέθανεν ὑπὲρ
from which(-time) for he became-man and died for
ἡμῶν, ἄνθρωπος οὐκ ἔτι ἀποθνήσκει τὸν αἰώνιον θάνατον.
us man not longer dies the eternal death

72 Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Παλλάδιος, λέγων, ὅτι Γέρων
related to-us — abba Palladius saying that old-man
τις κοσμικὸς ἐκρατήθη φόνυν ποιήσας· ὑπὸ τοῦ νόμου
a-certain worldly was-seized murder having-done by the law

δὲ Ἀλεξανδρείας κολαζόμενος, ἔλεγεν, καὶ ἄλλον εἶναι
and of-Alexandria being-punished he-said also another to-be
σὺν αὐτῷ κοινωνὸν τοῦ φόνου. Ὃν δὲ ἔλεγεν ὁ γέρων,
with him partner of-the murder whom and said the old-man
νεώτερος ἦν παῖς ὡς ἐτῶν εἴκοσι· πολλὰ οὖν καὶ
younger was boy as of-years twenty much then also
ἀμφότεροι ἐτιμωρήθησαν. Καὶ ὁ μὲν γέρων ἔλεγεν· Μετ᾽
both were-punished and the indeed old-man said with
ἐμοῦ ἦς ὅτε ἐποίησα τὸν φόνον. Ὁ δὲ νεώτερος ἔλεγεν
me you-were when I-did the murder the and younger said
μὴ ἔχειν πρᾶγμα εἰς τὸν φόνον, μηδὲ εἶναι μετ᾽ αὐτοῦ.
not to-have business in the murder nor to-be with him
Ὡς οὖν πολλὰ ἐκολάσθησαν, λαμβάνουσιν ἀπόφασιν, ἵνα
as then much they-were-punished they-receive sentence that
ἀμφότεροι φουρκισθῶσιν. Ἀπῆλθον οὖν ἐπὶ τὸ Πέμπτον·
both should-be-gibbeted they-went-off then to the Fifth(-milestone)
ἐκεῖ γὰρ τοὺς τοιούτους εἰώθασι κολάζειν. Ἔστι δὲ
there for the such they-are-accustomed to-punish there-is and
καὶ ἀπὸ ἑνὸς σταδίου ἱερὸν καταλελυμένον τοῦ Κρόνου.
also from one stade temple destroyed — of-Cronus
Ὡς οὖν ἦλθον εἰς τὸν τόπον, ἐθέλησαν ὅ τε δῆμος καὶ
as then they-came to the place wished the both people and
οἱ στρατιῶται τὸν νεώτερον πρῶτον κρεμῖσαι ἐν τῷ ξύλῳ.
the soldiers the younger first to-hang on the wood
Βαλὼν οὖν μετάνοιαν τοῖς στρατιώταις, ἔλεγεν· Διὰ τὸν
having-made then penitence to-the soldiers he-said for the
Κύριον ποιήσατε ἀγάπην, καὶ κατὰ ἀνατολὰς κρεμάσατέ
Lord do (an)-act-of-love and toward east hang
με, ἵνα προσέχω μόνος ὡς κρεμῶμαι. Λέγουσιν αὐτῷ
me so-that I-may-face alone as I-am-hanged say to-him
οἱ στρατιῶται· Διὰ τί; Λέγει αὐτοῖς· Οὕτως, κύριοί μου,
the soldiers for what he-says to-them thus lords of-me

οὐκ ἔχω, ταπεινὸς, εἰ μὴ ἑπτὰ μῆνας, ὅτε ἔλαβον τὸ
not I-have wretched if not seven months since I-received the
ἅγιον βάπτισμα, καὶ γέγονα Χριστιανός. Ὡς οὖν ἤκουσαν
holy baptism and became Christian as then heard
οἱ στρατιῶται, ἐδάκρυσαν ἐπὶ τῷ νεωτέρῳ. Ὁ δὲ γέρων
the soldiers they-wept over the younger the and old-man
χολώσας μέγα λέγει· Τὸν Σέραπιν, ἐμὲ ἐπὶ τὸν Κρόνον
having-been-enraged greatly says — by-Serapis me toward — Cronus
προσέχειν ποιήσατε. Τότε ὡς ἤκουσαν οἱ στρατιῶται τὴν
to-face make then as heard the soldiers the
βλασφημίαν τοῦ γέροντος, ἐάσαντες τὸν νεώτερον, πρῶτον
blasphemy of-the old-man having-left the younger first
τὸν γέροντα ἐκρέμασαν. Ὡς οὖν ἐφούρκιζον τὸν γέροντα,
the old-man they-hanged as then they-gibbeted the old-man
ἰδοὺ καβαλλάριος πεμφθεὶς ἀπὸ τοῦ Αὐγουσταλίου, εἶπε
behold horseman sent from the Augustalis said
τοῖς στρατιώταις· Τὸν νεώτερον μὴ φονεύσητε, ἀλλὰ φέρετε
to-the soldiers the younger not murder but bring
αὐτόν. Ὥστε χαρὰν γενέσθαι τοῖς στρατιώταις ἅπασι τοῖς
him so-that joy to-come to-the soldiers to-all the(-ones)
παρισταμένοις. Καὶ ἀπαγαγόντες αὐτὸν, εἰς τὸ πραιτώριον
standing-by and having-led-away him to the praetorium
εἰσήγαγον· καὶ ἀπέλυσεν αὐτὸν ὁ Αὐγουστάλιος. Ὁ
they-brought(-him)-in and released him the Augustalis the
δὲ νεώτερος παρ' ἐλπίδα σωθεὶς, ἀπελθὼν γέγονεν
and younger beyond hope having-been-saved having-gone-away became
μοναχός. Τοῦτο δὲ γεγραφήκαμεν πρὸς ὠφέλειαν πολλῶν.
monk this and we-have-written for benefit of-many
73 Καὶ τοῦτο ἡμῖν διηγήσατο ὁ ἀββᾶς Παλλάδιος, λέγων, ὅτι
and this to-us related — abba Palladius saying that
Ἦν τις Ἀλεξανδρείας στρατιώτης, ὀνόματι Ἰωάννης,
there-was a-certain of-Alexandria soldier by-name John

βίον ἔχων τοιοῦτον· Πᾶσαν τὴν ἡμέραν ἀπὸ ὄρθρου ἕως
life having such all the day from dawn until
ὥρας ἐννάτης ἐκαθέζετο εἰς τὸ μοναστήριον αὐτοῦ, πλησίον
hour ninth he-sat in the monastery of-him near
τῆς διαβάθρας τοῦ ἁγίου Πέτρου, μόνος φορῶν σακκομάχην
the stair of-the holy Peter alone wearing sackcloth
καὶ πλέκων μαλάκια, σιωπῶν καὶ μηδὲν ὅλως λαλῶν πρός
and plaiting baskets keeping-silent and nothing at-all speaking to
τινα. Ἐκαθέζετο δὲ ἐν εὐκτηρίῳ ποιῶν τὸ ἐργόχειρον αὐτοῦ,
anyone he-sat and in house-of-prayer doing the handiwork of-him
μόνον τοῦτο λέγων μετὰ μέλους· «Κύριε, ἐκ τῶν κρυφίων
only this saying with melody Lord from the hidden(-faults)
μου καθάρισόν με,» ἵνα μὴ αἰσχύνωμαι προσευχόμενος.
of-me cleanse me so-that not I-may-be-ashamed praying
Τοῦτον τὸν στίχον εἰπὼν, ἐσιώπα ὡς ἐπὶ ὥραν μεγάλην·
this the verse having-said he-was-silent as for hour great
καὶ πάλιν μετὰ τὴν ὥραν τὸν αὐτὸν ἀνελάμβανεν στίχον.
and again after the hour the same he-took-up verse
Ἔλεγεν δὲ αὐτὸν ἕβδομον δι' ὅλης τῆς ἡμέρας, μηδὲν
he-said and it seventh(-time) through all the day nothing
ἄλλο τὸ σύνολον λέγων. Καὶ τῇ ἐννάτῃ ὥρᾳ ἀπεδύετο τὸ
other at all saying and at-the ninth hour he-took-off the
σακκομάχιον ὃ ἐφόρει τὸ στρατιωτικὸν σχῆμα, τουτέστιν
sackcloth which he-wore the military habit that-is
τὰ ἱμάτια αὐτοῦ, καὶ οὕτως ὑπῆγεν εἰς τὰ ἴδια σίγνα.
the garments of-him and thus went to the own standards
Μετὰ τούτου κἀγὼ ἔμεινα χρόνους ὀκτὼ, καὶ μεγάλως
with this(-one) I-too remained years eight and greatly
ὠφελήθην ἐν τῇ σιωπῇ καὶ ἐν τῇ καταστάσει αὐτοῦ.
was-benefited in the silence and in the composure of-him

74 Νουθετῶν δὲ ἡμᾶς ὁ γέρων, καὶ τοῦτο ἔλεγεν ἡμῖν, ὅτι
admonishing and us the old-man also this said to-us that
Πιστεύσατέ μοι, τέκνα· ἄλλο οὐδὲν ἐποίησεν τὰ σχίσματα
believe me children other nothing made the schisms
καὶ τὰς αἱρέσεις εἰς τὴν ἁγίαν Ἐκκλησίαν, εἰ μὴ τὸ
and the heresies in the holy Church if not the
σφόδρα μὴ ἀγαπᾷν ἡμᾶς τὸν Θεὸν καὶ ἀλλήλους.
very not to-love us — God and one-another
75 Ὁ αὐτὸς ἀββᾶς Παλλάδιος διηγήσατο ἡμῖν ἄλλοτε
the same abba Palladius related to-us at-another-time
προσβαλοῦσιν αὐτῷ τι τοιοῦτον, ὅτι Ἦν τις
having-visited him something such that there-was a-certain
φιλόχριστος ἐν Ἀλεξανδρείᾳ, καὶ λίαν εὐλαβὴς, καὶ ἐλεήμων
Christ-lover in Alexandria and very devout and merciful
καὶ ξενοδοχῶν τοὺς μοναχούς· ἔσχεν δὲ καὶ γυναῖκα, καὶ
and hospitable-to the monks he-had and also wife and
αὐτὴν πάνυ ταπεινὴν, καὶ νηστεύουσαν πᾶσαν ἡμέραν· εἶχεν
her very humble and fasting every day he-had
δὲ καὶ θυγάτριον ὡς ἐτῶν ἓξ ὄν. Μιᾷ οὖν ἀπεδήμησεν
and also little-daughter as of-years six being on-one(-day) then went-abroad
ὁ φιλόχριστος οὗτος ἐν τῇ Κωνσταντινουπόλει· ἦν γὰρ
the Christ-lover this to — Constantinople he-was for
πραγματευτής. Ἐάσας οὖν τήν τε γυναῖκα καὶ τὸ παιδίον,
merchant having-left then the both wife and the child
καὶ ἕνα δοῦλον εἰς τὸν οἶκον, ἀπῆλθεν πλεῦσαι. Ὡς δὲ
and one slave in the house he-went-off to-sail as and
ἀπήρχετο ἐν τῷ πλοίῳ, λέγει αὐτῷ ἡ γυνή· Τίνι ἡμᾶς
he-went-off in the ship says to-him the wife to-whom us
ἐᾷς, κύριε; Λέγει αὐτῇ ὁ ἀνήρ· Τῇ Δεσποίνῃ ἡμῶν τῇ
do-you-leave lord says to-her the husband to-the Lady of-us the
Θεοτόκῳ. Ἐν μιᾷ οὖν ὡς ἐκάθητο ἡ γυνὴ, καὶ εἰργάζετο,
God-bearer on one(-day) then as sat the wife and worked

ἔχουσα καὶ τὸ παιδίον, ὁ δοῦλος ἐνεργηθεὶς ὑπὸ τοῦ
having also the child the slave having-been-worked-on by the
διαβόλου, ἠθέλησεν φονεῦσαι τὴν γυναῖκα, καὶ τὸ παιδίον,
devil wished to-murder the wife and the child
καὶ λαβεῖν εἴ τι ἔχουσιν, καὶ φυγεῖν. Καὶ λαβὼν ἐκ
and to-take if anything they-have and to-flee and having-taken from
τοῦ μαγειρείου μάχαιραν, ἦρχετο εἰς τὸ τρίκλινον, ἔνθα
the kitchen knife he-came to the dining-room where
ἦν ἡ κυρία αὐτοῦ. Ὡς οὖν ἔφθασεν τὸ πρόθυρον τοῦ
was the mistress of-him as then he-reached the doorway of-the
τρικλίνου ὁ παῖς, ἐκρατήθη ἀορασίᾳ, καὶ οὐκ ἠδύνατο
dining-room the boy was-seized with-blindness and not was-able
οὐδὲ ἐπὶ τὸ τρίκλινον, οὐδὲ ἐπὶ τὸ μαγειρίον ἀπελθεῖν.
neither to the dining-room nor to the kitchen to-go-away
Ὡς δὲ ἐπὶ ὥραν μίαν ἐποίησεν, πυκτεύων καὶ βιαζόμενος
as and for hour one he-spent struggling and forcing
ἑαυτὸν, ἵνα εἰσέλθῃ, ἤρξατο κράζειν τὴν κυρίαν αὐτοῦ,
himself so-that he-might-go-in he-began to-cry-to the mistress of-him
λέγων· Ἐλθὲ ἕως τῶν ὧδε. Ἡ δὲ ἐθαύμαζεν, ὅτι εἰς
saying come as-far-as the(-places) here she and marveled that in
τὸ μέσον τῆς θύρας ἔστη, καὶ οὐκ ἔρχεται πρὸς αὐτὴν,
the middle of-the door he-stood and not comes to her
ἀλλὰ κράζει, καὶ λέγει αὐτῷ· Σὺ ἐλθὲ ὧδε μᾶλλον, μὴ
but cries and she-says to-him you come here rather not
γινώσκουσα ὅτι ἀορασίᾳ κρατῆται. Ὁ δὲ παῖς ἤρξατο
knowing that with-blindness he-is-held the and boy began
ὁρκίζειν αὐτὴν, ἵνα ἀπέλθῃ πλησίον αὐτοῦ. Ἡ δὲ ὤμοσεν
to-adjure her that she-should-come near him she and swore
μὴ ἀπελθεῖν πρὸς αὐτόν. Ὁ δὲ λέγει αὐτῇ· Πέμψον μοι
not to-go-away to him he and says to-her send me
κἂν τὸ παιδίον. Ἡ δὲ οὐδὲ τοῦτο ἐποίησεν, εἰποῦσα·
at-least the child she and not-even this did having-said

Ἐὰν θέλῃς ἐλθὲ σύ. Τότε ὁ παῖς, ὡς οὐδὲν ἠδυνήθη
if you-wish come you then the boy as nothing he-was-able
ποιῆσαι, ἔδωκεν ἑαυτῷ τῷ μαχαιρίῳ, καὶ ἀνεγκάτησεν
to-do struck himself with-the knife and disemboweled
ἑαυτόν. Ἡ δὲ κυρία αὐτοῦ θεασαμένη ὃ ἐποίησεν,
himself the and mistress of-him having-beheld what he-did
ἔκραξεν· καὶ εἰσῆλθον οἱ γείτονες· εὐθὺς ἦλθον καὶ οἱ
cried-out and went-in the neighbors at-once came also the(-ones)
τοῦ πραιτωρίου, καὶ ηὗρον τὸν παῖδα ζῶντα, καὶ ἔμαθον
of-the praetorium and found the boy living and learned
παρ᾽ αὐτοῦ ἅπαντα· καὶ ἐδόξασαν τὸν Θεὸν, ὃς ἔδειξεν
from him all and glorified — God who showed
θαυμάσια, καὶ ἔσωσεν τὴν μητέρα καὶ τὸ τέκνον αὐτῆς.
wonders and saved the mother and the child of-her

76 Καὶ τοῦτο δὲ ἡμῖν ὁ αὐτὸς ἀββᾶς Παλλάδιος διηγήσατο,
and this too to-us the same abba Palladius related
λέγων, ὅτι Ἀκήκοα διηγουμένου τινὸς ναυκλήρου τι
saying that I-have-heard relating a-certain shipmaster something
τοιοῦτον, ὅτι Ἐν μιᾷ ὡς ἔπλεον, ἔχων ἐπιβάτας ἄνδρας
such that on one(-day) as I-sailed having passengers men
καὶ γυναῖκας, ἐλθόντες οὖν εἰς τὸ πέλαγος, καὶ πάντων
and women having-come then into the open-sea and all
εὐπλοούντων, τῶν μὲν ἐν Κωνσταντινουπόλει, τῶν δὲ
sailing-well the(-ones) indeed to Constantinople the(-ones) and
ἐν Ἀλεξανδρείᾳ, τῶν ἄλλων ἀλλαχοῦ, τοῦ ἀνέμου ἐπιτηδείου
to Alexandria the others elsewhere the wind favorable
ὄντος αὐτοῖς, ἡμεῖς μόνοι οὐκ ἠδυνάμεθα πλεῦσαι, καὶ
being to-them we alone not were-able to-sail and
ἐμείναμεν ὡς ἐπὶ ἡμέρας ιε, μὴ κινηθέντες τοῦ τόπου
we-remained as for days 15 not having-moved from-the place
οὗ ἦμεν. Ἤμεθα οὖν ἐν πολλῇ ἀθυμίᾳ καὶ ἀμηχανίᾳ,
where we-were we-were then in much despondency and helplessness

τὸ τί ἄρα ἐστὶν τοῦτο. Ἐγὼ δὲ ὡς ναύκληρος καὶ ἔχων
the what then is this I and as shipmaster and having
τὴν φροντίδα τοῦ τε λοιποῦ πλοίου καὶ τῶν ἐν αὐτῷ
the care of-the both rest ship and of-the(-ones) in it
πάντων, ἠρξάμην δέεσθαι τοῦ Θεοῦ περὶ τούτου. Καὶ ἐν
all began to-pray — God about this and on
μιᾷ ἔρχεταί μοι φωνὴ ἀοράτως λέγουσα· Βάλε κάτω
one(-day) comes to-me voice invisibly saying throw down
Μαρίαν, καὶ εὐπλοεῖς. Ἐγὼ δὲ ἐλογιζόμην τί ἂν εἴη
Mary and you-sail-well I and considered what — might-be
τοῦτο, τίς ἐστιν Μαρία. Ὡς οὖν ἠπόρουν περὶ τούτου,
this who is Mary as then I-was-perplexed about this
πάλιν ἔρχεταί μοι φωνή· Εἶπόν σοι· Βάλε κάτω Μαρίαν,
again comes to-me voice I-told you throw down Mary
καὶ σώζεσθε. Τότε ἐγὼ ἐσκεψάμην τι τοιοῦτον. Καὶ
and you-are-saved then I considered something such and
κράζω ἀθρόως· Μαρία. Οὐ γὰρ ᾔδειν τίς ἦν ἡ Μαρία. Ἡ
I-cry suddenly Mary not for I-knew who was — Mary she
δὲ ἀνακειμένη εἰς τὸ στρῶμα αὐτῆς, ὑπήκουσεν λέγουσα·
and lying on the mattress of-her answered saying
Τί κελεύεις, κύριε; Τότε λέγω αὐτῇ· Ποίησον ἀγάπην,
what do-you-command lord then I-say to-her do (an)-act-of-love
ἐλθὲ ἕως ὧδε. Ἡ δὲ ἀναστᾶσα ἦλθεν. Ὡς οὖν ἦλθεν,
come as-far-as here she and having-risen came as then she-came
ἔλαβον αὐτὴν κατιδίαν, καὶ λέγω αὐτῇ· Βλέπεις, ἀδελφὴ
I-took her apart and I-say to-her do-you-see sister
Μαρία, ποίας ἁμαρτίας ἔχω, καὶ δι᾽ ἐμὲ ὑμεῖς ὅλοι
Mary what sins I-have and because-of me you all
ἔξετε ἀπολέσθαι; Ἡ δὲ στενάξασα μεγάλως, εἶπεν· Ὄντως,
will-have to-perish she and having-groaned greatly said really
κύριέ μου ναύκληρε, ἐγώ εἰμι ἡ ἁμαρτωλός. Ἐγὼ δὲ λέγω
lord of-me shipmaster I am the sinner I and say

αὐτῇ· Γυνὴ, ποίας ἁμαρτίας ἔχεις; Καὶ αὐτή· Οἴμοι, ὅτι
to-her woman what sins you-have and she alas that
οὐκ ἔστιν ἁμαρτία ἣν οὐκ ἔπραξα, καὶ διὰ τὰς ἐμὰς
not is sin which not I-did and because-of the my
ἁμαρτίας ὅλοι μέλλετε ἀπολέσθαι. Τότε διηγήσατό μοι,
sins all you-are-about to-perish then related to-me
φησὶν, ἡ γυνή τι τοιοῦτον· Ὄντως, κύριε ὦ ναύκληρε,
he-says the woman something such really lord O shipmaster
ἐγὼ ἡ ἀθλία ἄνδρα ἔσχον, καὶ δύο παιδία ἐξ αὐτοῦ, τὸ
I the wretched husband had and two children from him the
ἓν ὡς ἐννέα χρόνων, καὶ τὸ ἄλλο ὡς πέντε ἐτῶν, καὶ
one as of-nine years and the other as of-five years and
ἐπὶ τούτοις ἐτελεύτησεν ὁ ἀνήρ μου, καὶ ἔμειναν χήρα.
upon these died the husband of-me and remained widow
Στρατιώτης δὲ πλησίον μου ἔμενεν, καὶ ἠθέλησα ἵνα
soldier and near me lived and I-wished that
λάβῃ με εἰς γυναῖκα· καὶ ἔπεμψα πρὸς αὐτόν τινας.
he-should-take me as wife and sent to him some(-people)
Ὁ δὲ στρατιώτης λέγει· Οὐ λαμβάνω γυναῖκα ἔχουσαν
the and soldier says not I-take wife having
τέκνα ἀπὸ ἄλλου ἀνδρός. Τότε ἐγὼ ὡς ἤκουσα ὅτι οὐ θέλει
children from another man then I as I-heard that not he-wishes
με λαβεῖν διὰ τὰ παιδία, ἅμα δὲ καὶ φιλοῦσα αὐτὸν,
me to-take because-of the children at-once and also loving him
ἔσφαξα τὰ δύο μου παιδία ἡ ἀθλία, καὶ ἐδήλωσα αὐτῷ,
slew the two of-me children the wretched and made-known to-him
ὅτι Ἰδοὺ νῦν οὐδένα ἔχω. Ὡς οὖν ἤκουσεν ὁ στρατιώτης
that behold now no-one I-have as then heard the soldier
περὶ τῶν παιδίων τὸ τί ἐποίησα, λέγει· Ζῇ Κύριος
about the children the what I-did he-says lives (the)-Lord
κατοικῶν ἐν οὐρανῷ, οὐ μὴ λάβω αὐτήν. Ὅθεν φοβηθεῖσα
dwelling in heaven not — I-will-take her whence having-feared

μὴ φανερὸν τοῦτο γένηται, καὶ ἀποθάνω, ἔφυγον. Ταῦτα
lest manifest this should-become and I-die I-fled these(-things)
ἀκούσας ἐγὼ παρὰ τῆς γυναικὸς, οὐδὲ οὕτως ἠθέλησα
having-heard I from the woman not-even thus wished
βαλεῖν αὐτὴν εἰς τὸ πέλαγος· ἀλλ' ἐσοφισάμην, φησὶν,
to-throw her into the sea but I-devised he-says
καὶ λέγω αὐτῇ· Ἰδοὺ ἐμβαίνω εἰς τὸν κάραβον· καὶ
and say to-her behold I-go-down into the skiff and
ἐὰν περιπατήσῃ τὸ πλοῖον, γίνωσκε, γύναι, ὅτι αἱ ἐμαὶ
if walks the ship know woman that the my
ἁμαρτίαι ἐνεργοῦσιν ἐν τῷ πλοίῳ. Τότε, φησὶν, φωνῶ τὸν
sins work in the ship then he-says I-call the
καραβιᾶν, λέγων· Ἔσω τὸν κάραβον. Ὡς οὖν κατῆλθον
skiffman saying in the skiff as then I-went-down
εἰς τὸν κάραβον, οὐδὲν πλέον, οὔτε τὸ πλοῖον οὔτε ὁ
into the skiff nothing more neither the ship nor the
κάραβος ἐκινήθη. Τότε ἀνελθὼν εἰς τὸ πλοῖον, λέγω τῇ
skiff moved then having-gone-up into the ship I-say to-the
γυναικί· Κάτελθε καὶ σὺ εἰς τὸν κάραβον. Ἡ δὲ κατῆλθεν·
woman go-down also you into the skiff she and went-down
καὶ ἅμα τοῦ κατελθεῖν, εὐθὺς ὁ κάραβος βαλὼν
and at-once with-the to-go-down at-once the skiff having-made
ὡς πέντε γύρους, ὀρθόβυθος ἀπῆλθεν. Τὸ δὲ πλοῖον
about five turns straight-to-the-bottom went-off the and ship
οὕτως ἔπλευσεν, ὅτι διὰ τριῶν ἡμίσεως ἡμερῶν ἠνύσαμεν
thus sailed that in three and-a-half days we-completed
πλοῦν, ὃν εἴχομεν ποιῆσαι διὰ δεκαπέντε ἡμερῶν.
voyage which we-had to-make in fifteen days
Ἀπήλθομεν ἐν μιᾷ εἰς τὸν οἶκον Στεφάνου τοῦ σοφιστοῦ, 77
we-went-off on one(-day) to the house of-Stephen the sophist
ἐγὼ καὶ ὁ κύριος Σωφρόνιος, ἵνα πράξωμεν· ἦν
I and the lord Sophronius so-that we-might-study it-was

δὲ μεσημβρινόν. Ἔμενεν δὲ εἰς τὴν ἁγίαν Θεοτόκον,
and noon he-lived and at the holy God-bearer
ἣν ᾠκοδόμησεν ὁ μακάριος πάπας Εὐλόγιος, τὴν
which built the blessed pope Eulogius the(-church)
ἐπονομαζομένην τῆς Δωροθέας. Ὡς οὖν ἐκρούσαμεν εἰς τὸν
called — of-Dorothea as then we-knocked at the
οἶκον τοῦ φιλοσόφου, παρέκυψεν κόρη λέγουσα· Καθεύδει,
house of-the philosopher peeped-out girl saying he-sleeps
ἀλλ᾽ ὀλίγον ἐξικακήσατε. Τότε δὴ λέγω τῷ κυρίῳ
but little bear-up then indeed I-say to-the lord
Σωφρονίῳ· Ἄγωμεν ἐν τῷ Τετραπύλῳ, κἀκεῖ μένωμεν.
Sophronius let-us-go to the Tetrapylon and-there let-us-wait
Ἔστιν δὲ ὁ τόπος τοῦ Τετραπύλου πάνυ σεβάσμιος
is and the place of-the Tetrapylon very venerable
παρὰ τοῖς Ἀλεξανδρεῦσι· λέγουσι γὰρ, ὅτι τὰ λείψανα
among the Alexandrians they-say for that the remains
Ἱερεμίου τοῦ προφήτου ἀπὸ Αἰγύπτου λαβὼν Ἀλέξανδρος
of-Jeremiah the prophet from Egypt having-taken Alexander
ὁ κτίστης τῆς πόλεως, ἐκεῖ αὐτὰ κατέθετο. Ὡς οὖν
the founder of-the city there them laid as then
ἀπήλθομεν εἰς τὸν τόπον, οὐδένα εὕρομεν, εἰ μὴ τρεῖς
we-went-off to the place no-one we-found if not three
τυφλούς· μεσημβρινὸν γὰρ ἦν. Ἀπήλθομεν οὖν πλησίον
blind(-men) noon for it-was we-went-off then near
τῶν τυφλῶν μεθ᾽ ἡσυχίας καὶ σιωπῆς, καὶ ἐκαθίσαμεν
the blind(-men) with stillness and silence and we-sat
ἔχοντες τὰ βιβλία ἡμῶν. Ἐλάλουν δὲ οἱ τυφλοὶ πρὸς
having the books of-us talked and the blind(-men) to
ἀλλήλους, καὶ λέγει ὁ εἷς τῷ ἄλλῳ· Ὄντως σοι
one-another and says the one to-the other really to-you
πῶς γέγονας τυφλός; Καὶ ἀπεκρίθη λέγων· Ναύτης
how did-you-become blind and he-answered saying sailor

ἤμην νεώτερος· καὶ ἀπὸ Ἀφρικῆς ἐπλέομεν, καὶ ἐν τῷ
I-was younger and from Africa we-sailed and in the
πελάγει ὀφθαλμιάσας, καὶ μὴ ἔχων πῶς περιοδευθῶ, τὰ
open-sea having-had-ophthalmia and not having how I-might-be-treated the
λευκώματα ἔσχον ἐν τοῖς ὀφθαλμοῖς μου, καὶ ἐτυφλώθην.
white-films I-got in the eyes of-me and I-was-blinded
Λέγει καὶ τῷ ἄλλῳ· Σὺ πῶς γέγονας τυφλός; Ἀπεκρίθη
he-says also to-the other you how did-you-become blind answered
κἀκεῖνος λέγων· Ὑαλοψὸς ἤμην τὴν τέχνην, καὶ ἐκ τοῦ
that(-one)-too saying glass-blower I-was the craft and from the
πυρὸς ἐπίχυσιν ἔσχον οἱ δύο ὀφθαλμοὶ, καὶ ἐτυφλώθην.
fire flux got the two eyes and I-was-blinded
Λέγουσιν ἄλλῳ κἀκεῖνοι· Σὺ πῶς γέγονας τυφλός;
they-say to-(the)-other those-too you how did-you-become blind
Ὁ δὲ ἀπεκρίθη· Ὄντως ἐγὼ λέγω ὑμῖν· ὅταν ἤμην
he and answered really I tell you when I-was
νεώτερος, ἐμίσησα τὸν κάματον πάνυ· γέγονα δὲ καὶ
younger I-hated the labor very I-became and also
ἄσωτος. Οὐκ ἔχων οὖν πόθεν φάγω λοιπὸν, ἔκλεπτον.
prodigal not having then whence I-might-eat henceforth I-stole
Ἐν μιᾷ οὖν τῶν ἡμερῶν μετὰ τὸ ποιῆσαί με πολλὰ
on one then of-the days after the to-do me many
κακὰ, ἱστάμην οὖν ἐπὶ τὴν ἀγοράν, καὶ θεωρῶ νεκρὸν
evils I-stood then in the market and I-see dead(-man)
ἐξοδιζόμενον καλῶς φοροῦντα. Ἀκολουθῶ οὖν ὀπίσω τοῦ
being-carried-out well dressed I-follow then behind the
ἐξοδίου, ἵνα θεωρήσω ποῦ μέλλουσιν αὐτὸν θάπτειν. Οἱ
funeral so-that I-may-see where they-are-about him to-bury they
δὲ ἦλθον ὀπίσω τοῦ ἁγίου Ἰωάννου, καὶ ἔθηκαν αὐτὸν
and came behind the holy John and placed him
εἰς μνημεῖον, καὶ ἀπῆλθον. Ἐγὼ δὲ ὡς εἶδον ἀπελθόντας
in tomb and went-off I and as I-saw having-gone-off

αὐτοὺς, εἰσῆλθον εἰς τὸ μνημεῖον, καὶ ἀπέδυσα αὐτὸν εἴ
them went-in into the tomb and stripped him if
τι ἐφόρει, ἑάσας αὐτῷ ἓν μόνον ὀθόνιον. Ὡς οὖν
anything he-wore having-left to-him one only linen-cloth as then
ἔμελλον ἐξέρχεσθαι ἐκ τοῦ μνημείου, λαβὼν πολλὰ
I-was-about to-go-out from the tomb having-taken many
πάνυ, ἡ κακή μου πρᾶξις λέγει μοι· Λάβε καὶ τὸ ὀθόνιον
very the evil of-me practice says to-me take also the linen-cloth
αὐτοῦ, ὅτι πιθανόν ἐστιν. Ὑπέστρεψα οὖν ὁ δείλαιος
of-him since fine it-is I-returned then the wretched
ἐγώ. Καὶ ὡς ἀπέδυον αὐτὸν τὸ ὀθόνιον, ἵνα γυμνὸν
I and as I-stripped-from him the linen-cloth so-that naked
αὐτὸν ἑάσω, ἀνακάθηται ὁ νεκρὸς ἔμπροσθέν μου, καὶ
him I-might-leave sits-up the dead(-man) before me and
ἐκτείνας τὰς δύο χεῖρας αὐτοῦ ἐπ' ἐμὲ, τοῖς δακτύλοις
having-stretched-out the two hands of-him at me with-the fingers
αὐτοῦ ἔξεσέν μου τὴν ὄψιν, καὶ ἐξέβαλεν τοὺς δύο μου
of-him scraped of-me the face and cast-out the two of-me
ὀφθαλμούς. Τότε ἐγὼ ὁ ἄθλιος ἑάσας πάντα, μετὰ
eyes then I the wretched having-left all with
θλίψεως πολλῆς καὶ κινδύνου, ἐξῆλθον ἐκ τοῦ μνήματος.
affliction much and danger went-out from the tomb
Ἰδοὺ εἶπον ὑμῖν κἀγὼ πῶς γέγονα τυφλός. Ταῦτα
behold I-have-told you I-too how I-became blind these(-things)
ἀκουσάντων ἡμῶν, νεύει μοι ὁ κύριος Σωφρόνιος. Καὶ
having-heard us nods to-me the lord Sophronius and
ἀνεχωρήσαμεν ἐξ αὐτῶν. Καὶ λέγει μοι· Ὄντως σοι, κῦρι
we-withdrew from them and he-says to-me really to-you lord
ἀββᾶ, μὴ πράξωμεν σήμερον. Μεγάλως γὰρ ὠφελήθημεν.
abba not let-us-study today greatly for we-were-benefited
Ὠφεληθέντες οὖν γεγραφήκαμεν, ἵνα καὶ ὑμεῖς ἀκούοντες
having-been-benefited then we-have-written so-that also you hearing

ταῦτα ὠφεληθῆτε. Ἀληθῶς γὰρ, ὅτι οὐδεὶς ποιῶν κακὸν,
these(-things) may-be-benefited truly for that no-one doing evil
λανθάνει Θεόν· καὶ τοῦ μὲν διηγήματος τούτου ἡμεῖς
escapes-notice-of God and of-the indeed narrative this we
αὐτήκοοι παρὰ τοῦ πεπονθότος γεγόναμεν.
ear-witnesses from the having-suffered(-one) became
Ὁ δὲ ἀββᾶς Ἰωάννης, ὁ τῆς μονῆς τῶν Γιγάντων 78
— and abba John the of-the monastery of-the Giants
ἡγούμενος, παραγενομένοις ἡμῖν ἐν Θεοῦ τῇ πόλει πρὸς
abbot having-come to-us in of-God the city to
αὐτὸν, διηγήσατο ἕτερόν τι τοιοῦτον, ὅτι Πρὸ ὀλίγου
him related other something such that before little
χρόνου ἦλθε πρός με νεώτερός τις λέγων μοι· Διὰ τὸν
time came to me young-man a-certain saying to-me for —
Θεὸν δέξαι με· θέλω γὰρ μετανοῆσαι. Ἔλεγε δὲ τοῦτο
God receive me I-wish for to-repent he-said and this
μετὰ τῶν πολλῶν δακρύων. Ἐγὼ δὲ, ὡς εἶδον αὐτὸν πάνυ
with the many tears I and as I-saw him very
συντετριμμένον, καὶ ἐν πολλῇ ἀθυμίᾳ ὑπάρχοντα, λέγω
crushed and in much despondency being I-say
αὐτῷ· Εἰπέ μοι, πόθεν εἰς τοσαύτην ἦλθες κατάνυξιν. Ὁ
to-him tell me whence to such you-came compunction he
δὲ λέγει μοι· Ὄντως σοι, κῦρι ἀββᾶ, πολὺ ἁμαρτωλός
and says to-me really to-you lord abba very sinner
εἰμι. Ἐγὼ δὲ λέγω αὐτῷ πάλιν· Πίστευέ μοι, τέκνον, ὅτι
I-am I and say to-him again believe me child that
ὥσπερ πολλά ἐστι καὶ διάφορα τὰ ἁμαρτήματα, οὕτως
as many are and various the sins thus
πολλά ἐστι καὶ τὰ ἰάματα. Ἀλλ' εἰ θέλεις ἰατρείας τυχεῖν,
many are also the cures but if you-wish of-healing to-obtain
εἰπέ μοι εἰς ἀλήθειαν τὰς πράξεις σου, ὅπως κἀγὼ
tell me in truth the deeds of-you so-that I-too

ταύταις ἁρμόζοντα προσάγω τὰ ἐπιτίμια. Ἄλλως γὰρ
to-these fitting may-apply the penances otherwise for
θεραπεύεται ὁ πόρνος, καὶ ἑτέρως ὁ φονεὺς, καὶ ἄλλως
is-treated the fornicator and differently the murderer and otherwise
ὁ φαρμακός· καὶ ἕτερον τὸ τοῦ πλεονέκτου βοήθημα.
the sorcerer and different the of-the greedy(-man) remedy
Ὁ δὲ μέγα στενάξας καὶ τύψας τὸ ἑαυτοῦ στῆθος,
he and greatly having-groaned and having-beaten the his-own breast
συνεσχέθη τοῖς δάκρυσι καὶ τοῖς στεναγμοῖς· καὶ ἐκ τῆς
was-held by-the tears and by-the groans and from the
πολλῆς ταραχῆς τῆς ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐδὲ φωνὴν
much turmoil of-the in the heart of-him not-even voice
ἐλευθέραν ἀφιέναι ἠδύνατο. Ἐγὼ δὲ ὡς εἶδον αὐτὸν οὕτως
free to-utter was-able I and as I-saw him thus
εἰς ἀμηχανίαν καὶ ἀπόρρητον λύπην ἐκπεπτωκότα, καὶ
into helplessness and unspeakable grief having-fallen and
μηδ' ὅλως δυνάμενον τὴν ἰδίαν συμφορὰν ἐξαγγεῖλαι,
not-even at-all being-able the own calamity to-declare
λέγω αὐτῷ· Τέκνον, ἄκουσόν μου καὶ βίασον μικρὸν τὸν
I-say to-him child hear me and force little the
ἑαυτοῦ λογισμὸν, καὶ εἰπὲ τὸ πρᾶγμα. Καὶ ἔχει Χριστὸς
your-own thought and tell the matter and is-able Christ
ὁ Θεὸς ἡμῶν παρασχεῖν σοι τὴν ἑαυτοῦ βοήθειαν. Ὁ γὰρ
the God of-us to-afford you the his-own help he for
διὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν καὶ τοὺς ἀμέτρους
because-of the unspeakable his love-for-man and the measureless
αὐτοῦ οἰκτιρμοὺς, πάντα διὰ τὴν ἡμετέραν σωτηρίαν
his compassions all for the our salvation
παθὼν, καὶ τελώναις μὲν συναλισθεὶς, πόρνην δὲ
having-suffered and with-tax-collectors indeed having-eaten harlot and
μὴ ἀποστραφεὶς, καὶ λῃστὴν προσδεξάμενος, καὶ φίλος
not having-turned-away and robber having-received and friend

χρηματίσας ἁμαρτωλῶν, ὕστερον καὶ σταυρὸν προσεδέξατο,
having-been-called of-sinners later also cross accepted
καὶ σὲ προσδέξεται, μετανοοῦντα καὶ ἐπιστρέφοντα, ταῖς
and you will-receive repenting and returning with-the
ἰδίαις αὐτοῦ χερσὶν, ἀγαλλόμενος. Οὐδὲ γὰρ βούλεται τὸν
own his hands rejoicing not for he-wishes the
θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.
death of-the sinner as the to-return and to-live him
Τότε βιασάμενος ἑαυτὸν καὶ μικρὸν ἐπισχὼν τῶν δακρύων,
then having-forced himself and little having-checked the tears
λέγει μοι· Ἐγὼ, κύριε ἀββᾶ, ὁ πάσης ἁμαρτίας
he-says to-me I lord abba the(-one) with-every sin
πεπληρωμένος, ἀνάξιος οὐρανοῦ καὶ τῆς γῆς, πρὸ δύο
filled unworthy of-heaven and of-the earth before two
τούτων ἡμερῶν ἀκούω, ὅτι τινὸς τῶν πρώτων τῆς πόλεως
these days I-hear that of-someone of-the first(-men) of-the city
ταύτης, θυγάτηρ παρθενεύουσα ἐτελεύτησε, καὶ ἐτάφη μετὰ
this daughter virgin died and was-buried with
πολλῶν τῶν ἱματίων εἰς ἓν μνημεῖον ἔξω τῆς πόλεως.
many the garments in one tomb outside the city
Ὅπερ ἀκούσας, ἐκ συνηθείας ὢν τῆς ἀθεμίτου πράξεως
which-very having-heard from habit being of-the lawless practice
ταύτης, ἀπέρχομαι νυκτὸς εἰς τὸ μνημεῖον, ἠρξάμην ἀποδύειν
this I-go-off by-night to the tomb I-began to-strip
αὐτήν· καὶ ἐξέδυσα αὐτὴν πάντα ὅσα ἐφέρει· μηδὲ τοῦ
her and stripped-off her all as-much-as she-wore not-even the
ἐνδοτέρου αὐτῆς χιτωνίσκου φεισάμενος, ἀλλὰ καὶ αὐτοῦ
inner her tunic having-spared but also of-it
στερήσας αὐτὴν, καὶ γυμνὴν αὐτὴν ποιήσας ὡς ἐγεννήθη.
having-deprived her and naked her having-made as she-was-born
Μέλλοντός μου λοιπὸν τοῦ τάφου ἐξελθεῖν, ἀνακάθηται
being-about me henceforth the grave to-go-out sits-up

ἐκείνη ἔμπροσθέν μου, καὶ ἐκτείνασα τὴν ἀριστερὰν
she before me and having-stretched-out the left
αὐτῆς χεῖρα, ἐκράτησεν τῆς δεξιᾶς μου χειρὸς, καὶ λέγει
of-her hand seized the right of-me hand and says
μοι· Ἁπλῶς, ἄνθρωπε, οὕτως ἔδει σέ με γυμνῶσαι;
to-me simply man thus it-was-needful you me to-strip
Οὐκ ἐφοβήθης τὸν Θεόν; Ἆρα οὐ δέδοικας τὸ κρῖμα τῆς
not did-you-fear — God then not do-you-dread the judgment of-the
μελλούσης ἀνταποδόσεως; ἆρα οὐδὲ ὡς νεκράν με ὤφειλες
coming recompense then not-even as dead me ought-you
οἰκτεῖραι; Ἆρα οὐδὲ τὴν κοινὴν ἠδέσθης φύσιν; Ἀλλὰ
to-pity then not-even the common did-you-respect nature but
Χριστιανὸς ὤν, οὕτως γυμνήν με ἔκρινας παραστῆναι
Christian being thus naked me did-you-judge to-stand-before
τῷ Χριστῷ, μηδὲ τὴν φύσιν αἰδεσθείς; Ἆρα οὐκ αὐτὴ
— Christ nor the nature having-respected then not itself
ἡ φύσις σε ἔτεκεν; Ἆρα οὐ τὴν ἰδίαν ὕβρισας μητέρα
the nature you bore then not the own did-you-outrage mother
σὺν ἐμοί; Ποίαν ἔχεις, ἄθλιε, τῶν ἀνθρώπων ἀπολογίαν
with me what have-you wretched of-the men defense
δοῦναι ὑπὲρ ἐμοῦ ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ;
to-give for me before the fearful judgment-seat — of-Christ
Ὅτι ζώσης μου ξένος ἄνθρωπος οὐκ εἶδεν τὸ πρόσωπόν
that living me strange man not saw the face
μου, καὶ σὺ μετὰ θάνατον καὶ ταφὴν ἐγύμνωσάς με, καὶ
of-me and you after death and burial stripped me and
γυμνὸν ἐθεάσω τὸ ἐμὸν σῶμα. Ἀβάλε τῇ ἀνθρωπότητι,
naked beheld the my body alas for-the humanity
εἰς ποίαν ταλαιπωρίαν κατήντησεν! Ποίᾳ καρδίᾳ ἢ
to what misery it-has-come with-what heart or

ποίαις χερσὶν προσερχόμενος μεταλαμβάνεις τοῦ παναγίου
with-what hands approaching do-you-partake of-the all-holy
σώματος καὶ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ;
body and blood of-the Lord of-us Jesus Christ
Ἐγὼ ταῦτα ἀκούσας, καὶ ἰδὼν, δειλιάσας καὶ
I these(-things) having-heard and having-seen having-been-afraid and
ἔμφοβος γενόμενος μόλις τρέμων, λέγω αὐτῇ, Ἀπόλυσόν
terrified having-become scarcely trembling I-say to-her release
με, καὶ οὐκ ἔτι ποιῶ αὐτό. Ἡ δὲ λέγει μοι, Ὄντως
me and no longer I-do it she and says to-me really
ὡς ἠθέλησας ἦλθες· ὡς θέλεις ἔνθεν οὐκ ἐξέρχῃ· ἀλλ'
as you-wished you-came as you-wish from-here not you-go-out but
ὁ τάφος ἀμφοτέροις κοινὸς γενήσεται Καὶ μὴ νομίσῃς,
the grave for-both common will-become and not think
ὅτι παραχρῆμα ἔχεις ἀποθανεῖν, ἀλλ' ἐπὶ πολλὰς ἡμέρας
that at-once you-are to-die but for many days
βασανιζόμενος κακὴν κακῶς τὴν ψυχήν σου ἀποδώσεις.
being-tortured evil evilly the soul of-you you-will-give-up
Ἐγὼ δὲ παρεκάλουν αὐτὴν μετὰ δακρύων ἀπολῦσαί με,
I and begged her with tears to-release me
πολλὰ ἐξομνύμενον κατὰ τοῦ παντοκράτορος Θεοῦ, ὡς οὐκ
much swearing by the almighty God that not
ἔτι ποιήσω τὴν ἀθέμιτον καὶ παράνομον ταύτην πρᾶξιν·
longer I-will-do the lawless and unlawful this deed
τότε μετὰ τὰ πολλὰ παρακαλέσαι με αὐτὴν, καὶ πολλὰ
then after the much to-beg me her and many
δάκρυα καταγαγεῖν, ἀποκριθεῖσα λέγει μοι· Ἐὰν θέλῃς ζῇν,
tears to-shed having-answered she-says to-me if you-wish to-live
καὶ ῥυσθῆναι τῆς ἀνάγκης ταύτης, δός μοι λόγον, ὅτι ἐὰν
and to-be-delivered from-the necessity this give me word that if
ἀπολύσω σε, οὐ μόνον ἐκ τούτων ἀφίστασαι τῶν μυσαρῶν
I-release you not only from these you-depart the abominable

καὶ βεβήλων πράξεων, ἀλλ᾽ εὐθέως καὶ παραχρῆμα ὑπάγεις,
and profane deeds but at-once and immediately you-go
καὶ ἀποτάσσῃ, καὶ γίνῃ μοναχὸς καὶ μετανοεῖς ὑπὲρ ὧν
and renounce and become monk and repent for what
ἔπραξας, καὶ δουλευθεὶς τῷ Χριστῷ. Ἐγὼ δὲ ὤμοσα αὐτῇ
you-did and having-served — Christ I and swore to-her
λέγων, ὅτι Οὐ μόνον ὅσα μοι εἴπῃς, ποιήσω, ἀλλ᾽ ὅτι
saying that not only as-much-as to-me you-tell I-will-do but that
καὶ ἀπὸ τῆς σήμερον ἡμέρας οὐκ εἰσέλθω εἰς τὸν οἰκόν
also from the today day not I-go-in into the house
μου, ἀλλ᾽ εἰς μοναστήριον ἐντεῦθεν ἀπέρχομαι. Τότε λέγει
of-me but to monastery from-here I-go-away then says
μοι ἡ κόρη· Ἔνδυσόν με ὡς εὗρές με· καὶ κηδεύσαντός
to-me the girl clothe me as you-found me and having-buried
μου αὐτὴν, πάλιν ἀναπεσοῦσα ἀπέθανεν. Εὐθέως οὖν ἐγὼ
me her again having-fallen-back died at-once then I
ὁ ἄθλιος καὶ ἁμαρτωλὸς ἐξελθὼν ἐκ τοῦ μνημείου,
the wretched and sinner having-gone-out from the tomb
ἦλθον ἐνταῦθα. Ταῦτα ἀκούσας ἐγὼ παρὰ τοῦ νεωτέρου,
came here these(-things) having-heard I from the young-man
καὶ ἐπαλείψας αὐτὸν τοῖς περὶ μετανοίας καὶ ἐγκρατείας
and having-anointed him with-the about repentance and continence
λόγοις, μετὰ χρόνον ἐκούρευσα αὐτόν· καὶ ἐνδύσας αὐτὸν
words after time I-tonsured him and having-clothed him
τὸ μοναχικὸν σχῆμα, ἐνέκλεισα αὐτὸν ἐν σπηλαίῳ εἰς
the monastic habit shut-in him in cave on
τὸ ὄρος ἔνδον τῆς πόλεως, μεγάλως εὐχαριστοῦντα τῷ
the mountain within the city greatly giving-thanks —
Θεῷ, καὶ ἀγωνιζόμενον ὑπὲρ τῆς ἑαυτοῦ ψυχῆς.
to-God and contending for the his-own soul

At Seleucia the consecrated bread a Severan merchant would not touch sprouts ears of wheat. At Theodosius' monastery on the Scopelus the spring dries up when the brothers build a bath and returns when it is pulled down; the saint's image lowered into a dry well half fills it, his old man John looses a bewitched ship, and grain withheld from the poor sprouts in store. A deer shows the abbot a dead anchorite's grave, lights burn over a dead anchorite's cave, and a dead monk throws up the women buried above him. An anchorite lies down on his master's grave and dies.

Παραγενόμενοι εἰς Σελεύκειαν τὴν πρὸς Ἀντιόχειαν, 79
having-come to Seleucia the(-one) by Antioch
συνετύχομεν τῷ ἀββᾷ Θεοδώρῳ ἐπισκόπῳ τῆς αὐτῆς
we-met — to-abba Theodore bishop of-the same
Σελευκείας πόλεως· καὶ διηγήσατο ἡμῖν, λέγων, ὅτι
Seleucia city and he-related to-us saying that
Γέγονεν ἐπὶ τοῦ μακαρίου Διονυσίου τοῦ πρὸ ἐμοῦ
there-happened in-the(-time) of-the blessed Dionysius the before me
ἐπισκόπου ταύτης τῆς πόλεως, τὶ τοιοῦτον· Ἦν
bishop of-this the city something such there-was
τις ἀνὴρ πραγματευτὴς ἐνταῦθα, πάνυ εὐλαβὴς καὶ
a-certain man merchant here very devout and
πλούσιος· ἦν δὲ αἱρετικὸς τῶν Σεβήρου δογμάτων,
rich he-was and heretic of-the of-Severus doctrines
ἔχων δὲ πιστικὸν κοινωνοῦντα τῇ ἁγίᾳ καθολικῇ καὶ
having and steward communing with-the holy catholic and
ἀποστολικῇ Ἐκκλησίᾳ. Οὗτος ὁ πιστικὸς κατὰ τὸ ἔθος
apostolic Church this the steward according-to the custom
τῆς χώρας ἔλαβεν κοινωνίαν τῇ ἁγίᾳ πέμπτῃ. Καὶ βαλὼν
of-the country took communion on-the holy Thursday and having-put
αὐτὴν ἐν μουζικίῳ ἀπέθετο ἐν τῷ ἰδίῳ ἁρμαρίῳ. Συνέβη
it in little-box he-laid(-it) in the own cupboard it-happened

δὲ μετὰ τὸ ἅγιον Πάσχα τὸν πιστικὸν πεμφθῆναι ἐν
and after the holy Easter the steward to-be-sent to
Κωνσταντινουπόλει διὰ πραγματείαν, ἐάσαντα κατὰ λήθην
Constantinople for business having-left through forgetfulness
τὰς ἁγίας κοινωνίας ἐν τῷ ἁρμαρίῳ αὐτοῦ. Δέδωκεν δὲ
the holy communions in the cupboard of-him he-had-given and
τὸ κλειδίον τοῦ ἁρμαρίου τῷ αὐθέντῃ. Ἐν μιᾷ οὖν
the key of-the cupboard to-the master on one(-day) then
ἀνοίξας τὸ ἁρμάριον ὁ αὐθέντης εὗρεν τὸ μουζίκιον ἔχον
having-opened the cupboard the master found the little-box having
τὰς ἁγίας κοινωνίας. Ἐλυπήθη δὲ ἐπὶ τούτῳ καὶ ἠπορήθη
the holy communions he-was-grieved and at this and was-at-a-loss
τί ποιήσει αὐτάς. Οὐδὲ γὰρ μεταλαβεῖν ἐξ αὐτῶν ἠνείχετο,
what he-will-do them nor for to-partake of them he-endured
διὰ τὸ αὐτὰς μὲν εἶναι τῆς καθολικῆς Ἐκκλησίας, αὐτὸν
because-of the them indeed to-be of-the catholic Church him
δὲ τῆς Σεβήρου αἱρέσεως. Καὶ τότε μὲν ἔασεν αὐτὰς ἐν
and of-the of-Severus heresy and then indeed he-left them in
τῷ ἁρμαρίῳ, λογισάμενος, ὅτι κατέρχεται ὁ πιστικὸς, καὶ
the cupboard having-reckoned that comes-down the steward and
μεταλαμβάνει αὐτάς. Ὡς δὲ ἔφθασεν ἡ ἁγία ἡμέρα τῆς
partakes-of them as and arrived the holy day of-the
μεγάλης πέμπτης, τοῦ πιστικοῦ μὴ κατελθόντος, ἠβουλήθη
great Thursday the steward not having-come-down wished
αὐτὰς ὁ αὐθέντης καῦσαι, ἵνα μὴ πάλιν μείνωσιν εἰς
them the master to-burn so-that not again they-might-remain into
δεύτερον ἐνιαυτὸν, καὶ ἀνοίξας τὸ ἁρμάριον θεωρεῖ, ὅτι
second year and having-opened the cupboard he-sees that
ὅλαι ἅγιαι μερίδες ἄσταχυν ἐβλάστησαν. Φόβῳ δὲ πολλῷ
all holy portions ears sprouted with-fear and much
καὶ τρόμῳ ληφθεὶς ἐπὶ τῷ καινῷ καὶ παραδόξῳ
and trembling having-been-seized at the new and strange

θεάματι, λαβὼν τὰς ἁγίας μερίδας σὺν παντὶ τῷ οἴκῳ
sight having-taken the holy portions with all the household
αὐτοῦ, κράζων τό· Κύριε, ἐλέησον, δρομαίως ἐπεχώρει ἐπὶ
of-him crying the Lord have-mercy running went to
τὴν ἁγίαν ἐκκλησίαν πρὸς τὸν ἐν ἁγίοις Διονύσιον τὸν
the holy church to the among saints Dionysius the
ἐπίσκοπον. Τοῦτο δὲ τὸ μέγα καὶ φοβερὸν, τὸ ὑπὲρ πάντα
bishop this and the great and fearful the beyond every
λόγον, καὶ πάντα νοῦν καὶ πᾶσαν ἐνθύμησιν θαῦμα, οὐχ οἱ
word and every mind and every thought wonder not the
δύο, οἱ τρεῖς ἐθεάσαντο, οὐδὲ ὀλίγοι καὶ εὐαρίθμητοι μόνον,
two the three beheld nor few and easily-counted only
ἀλλὰ ὅλη ἡ ἐκκλησία, πολῖται, καὶ ἐγχώριοι, αὐτόχθονες,
but all the church citizens and locals natives
ἐπιξενούμενοι, ὅσοι τὴν ἤπειρον ὁδεύουσιν, καὶ ὅσοι
sojourning as-many-as the mainland travel and as-many-as
τὴν θάλασσαν πλέουσιν, ἄνδρες καὶ γυναῖκες, γέροντες
the sea sail men and women old(-men)
καὶ ἀφήλικες, νέοι καὶ πρεσβύτεροι, δεσπόται καὶ οἰκέται,
and minors young and elders masters and servants
πλούσιοι καὶ πένητες, ἄρχοντες καὶ ἀρχόμενοι, σοφοὶ καὶ
rich and poor rulers and ruled wise and
ἰδιῶται, οἱ ἐν κλήρῳ, οἱ ἐν παρθενίᾳ, οἱ
laymen the(-ones) in clergy the(-ones) in virginity the(-ones)
ἐν ἀσκήσει, οἱ ἐν χηρείᾳ, οἱ ἐν σεμνῷ γάμῳ,
in discipline the(-ones) in widowhood the(-ones) in honorable marriage
οἱ ἐν ἐξουσίαις, οἱ ἐν δυναστείαις. Καὶ οἱ
the(-ones) in authorities the(-ones) in powers and the(-ones)
μὲν, Κύριε, ἐλέησον, ἐβόων, ἄλλοι δὲ ἄλλως ἀνύμνουν.
indeed Lord have-mercy shouted others and otherwise hymned
Πάντες δὲ τῷ Θεῷ εὐχαρίστουν ἐπὶ ταῖς ἀνεκδιηγήτοις
all and — God thanked for the indescribable

καὶ παραδόξοις αὐτοῦ θαυματουργίαις. Πολλοὶ δὲ ἐκ
and strange of-him wonder-workings many and from
τούτου τοῦ θαύματος πιστεύσαντες προσῆλθον τῇ ἁγίᾳ
this the wonder having-believed came-to the holy
καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.
catholic and apostolic Church
80 Παρεβάλομεν εἰς τὸ μοναστήριον τοῦ ἀββᾶ Θεοδοσίου
we-visited at the monastery — of-abba Theodosius
εἰς τὸν Σκόπελον. Ὄρος δέ ἐστι μεταξὺ Σελευκείας τῆς
at the Scopelus mountain and it-is between Seleucia of-the
ἠπείρου, καὶ Ῥόσσου τῆς Κιλικίας· καὶ οἱ Πατέρες τοῦ
mainland and Rhosus — of-Cilicia and the Fathers of-the
αὐτοῦ μοναστηρίου ἀνήγαγον ἡμᾶς ἐπάνω τοῦ μοναστηρίου,
same monastery led-up us above the monastery
ὡς ἀπὸ σαγιττοβόλου ἑνός. Καὶ ὑπέδειξαν ἡμῖν, λέγοντες,
as from arrow-shot one and showed us saying
ὅτι Τὴν πηγὴν ταύτην πάνυ οὖσαν καλὴν καὶ μεγάλην
that the spring this very being fair and great
ἐκ Θεοῦ ἔχομεν· καί φασιν, Οὐκ ἔτι κατὰ φύσιν,
from God we-have and they-say no longer by nature
ἀλλὰ θεοδώρητος ἡμῖν ἐστιν. Πολλὰ γὰρ ὁ ἐν ἁγίοις
but God-given to-us it-is many for the among saints
Πατὴρ ἡμῶν καὶ μέγας Θεοδόσιος ἐνήστευσεν, καὶ δάκρυα
Father of-us and great Theodosius fasted and tears
ἐξέχεεν μετὰ πολλῶν γονυκλισιῶν, ἵνα ὁ Θεὸς παράσχῃ
poured-out with many genuflections so-that — God might-afford
ἡμῖν τὴν ἀπόλαυσιν τοῦ ὕδατος τούτου· ὅτι πρῶτον,
us the enjoyment of-the water this since first
ἐκ τοῦ χειμάρρου ἐγέμιζον οἱ Πατέρες ἡμῶν. Ἀλλ' ὁ
from the torrent filled the Fathers of-us but —
Θεὸς ὁ ποιῶν ἀεὶ τὸ θέλημα τῶν φοβουμένων
God the doing always the will of-the(-ones) fearing

αὐτὸν, παρέσχεν ἡμῖν τὴν εὐλογίαν τοῦ ὕδατος διὰ τῶν
him afforded us the blessing of-the water through the
εὐχῶν τοῦ Πατρὸς ἡμῶν. Πρὸ δύο οὖν ἐτῶν τινες τῶν
prayers of-the Father of-us before two then years some of-the
ἀδελφῶν ἠτήσαντο τὸν ἡγούμενον, ἵνα λουτρὸν κτίσωσιν
brothers asked the abbot that bath they-might-build
ἐν τῷ μοναστηρίῳ. Ὁ δὲ ἀββᾶς ἡμῶν ἐδυσχέραινεν ἐπὶ
in the monastery the and abba of-us was-displeased at
τούτῳ· πλὴν παρεχώρησεν συγκαταβὰς τῇ ἀσθενείᾳ τῶν
this but he-conceded having-condescended to-the weakness of-the
ἀδελφῶν. Καὶ δὴ κτίζεται τὸ λουτρὸν, καὶ ἔλουσεν ἅπαξ
brothers and indeed is-built the bath and he-bathed once
μόνον, καὶ παραχρῆμα ἐξηράνθη ἡ τοιαύτη καὶ τηλικαύτη
only and at-once dried-up the such and so-great
θεοδώρητος πηγή. Καὶ ἐπ᾽ ἀληθείας ὑμῖν λέγομεν, πολλὰ
God-given spring and in truth to-you we-say much
ἐνηστεύσαμεν, καὶ πολλὰς δεήσεις ἐποιήσαμεν μετὰ
we-fasted and many supplications made with
πολλῶν δακρύων· καὶ οὐκ ἐξῆλθεν τὸ ὕδωρ τῆς πηγῆς.
many tears and not came-out the water of-the spring
Ἐποίησεν οὖν ἐνιαυτὸν μὴ ἐξερχόμενος, καὶ ἐν πολλῇ
it-spent then year not coming-out and in much
θλίψει ὑπήρχομεν. Ὡς οὖν ὁ Πατὴρ ἡμῶν ἔστρεψεν τὸ
affliction we-were as then the Father of-us overturned the
λουτρὸν, εὐθέως ὁ Θεὸς πάλιν τὸ ὕδωρ ἡμῖν ἔδωκεν.
bath at-once — God again the water to-us gave
Διηγήσαντο ἡμῖν οἱ αὐτοὶ Πατέρες καὶ τοῦτο, λέγοντες, 81
related to-us the same Fathers also this saying
ὅτι Ἐν ταύταις ταῖς ἡμέραις γυνή τις φιλόχριστος
that in these the days woman a-certain Christ-loving
εἰς τὰ μέρη Ἀπαμείας φρέαρ ὤρυξεν· καὶ πάμπολλα
in the parts of-Apamea well dug and very-much

δαπανήσασα, καὶ βάθος πολὺ κατελθοῦσα, οὐχ εὗρεν ὕδωρ·
having-spent and depth great having-gone-down not found water
καὶ ἐν πολλῇ ἀθυμίᾳ ὑπῆρχεν, καὶ διὰ τὸν κόπον καὶ
and in much despondency was both because-of the toil and
διὰ τὰς δαπάνας. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν θεωρεῖ ἡ
because-of the expenses on one then of-the days sees the
γυνή τινα αὐτῇ λέγοντα· Πέμψον καὶ φέρε τὸ ὁμοίωμα
woman someone to-her saying send and bring the likeness
τοῦ ἀββᾶ Θεοδοσίου τοῦ εἰς τὸν σκόπελον, καὶ τὸ
— of-abba Theodosius the(-one) at the Scopelus and the
ὕδωρ δι' αὐτοῦ ὁ Θεὸς παρέχει σοι. Ἡ δὲ γυνὴ εὐθέως
water through him — God affords you the and woman at-once
πέμψασα δύο ἀνθρώπους, ἔλαβεν τὴν εἰκόνα τοῦ ἁγίου, καὶ
having-sent two men took the image of-the saint and
ἐχάλασεν αὐτὴν εἰς τὸ φρέαρ. Καὶ εὐθέως καὶ παραχρῆμα
lowered it into the well and at-once and immediately
ἐξῆλθεν τὸ ὕδωρ· ὥστε τὸ ἥμισυ τοῦ λάκκου πληρωθῆναι.
came-out the water so-that the half of-the pit to-be-filled
Ἔφερον οὖν ἡμῖν οἱ διασώσαντες τὴν εἰκόνα ἐκ τοῦ
brought then to-us the(-ones) having-saved the image from the
ὕδατος, καὶ ἐπίομεν, καὶ ἐδοξάζομεν πάντες τὸν Θεόν.
water and we-drank and we-glorified all — God
82 Ἰωάννην ὀνόματι γέροντα ἐθεασάμεθα ἐν τῷ αὐτῷ
John by-name old-man we-beheld in the same
μοναστηρίῳ. Ἔλεγον δὲ ἡμῖν οἱ Πατέρες τοῦ αὐτοῦ τόπου
monastery said and to-us the Fathers of-the same place
περὶ αὐτοῦ, ὅτι Ὄντως, Χριστιανοί, μέγας ἐστὶν, καὶ φοβερὸς
about him that really Christians great he-is and fearful
ὑπάρχει τοῖς δαίμοσιν. Οἷος γὰρ ἔλθῃ ὧδε ἐνοχλούμενος
is to-the demons whoever for comes here being-troubled
ὑπὸ πνεύματος ἀκαθάρτου, παρέχει αὐτῷ τὴν ἴασιν.
by spirit unclean he-affords him the healing

Ἔλεγον δὲ ἡμῖν οἱ τοῦ αὐτοῦ τόπου Πατέρες καὶ τοῦτο περὶ 83
said and to-us the of-the same place Fathers also this about
αὐτοῦ, ὅτι Ὡς ἀπὸ κδ μιλίων τοῦ μοναστηρίου ἐμπόριόν
him that as from 24 miles of-the monastery trading-post
ἐστιν, Λεπτὴ Ἄκρα λεγόμενον. Ἐν τούτῳ τῷ ἐμπορίῳ,
there-is Lepte Acra called in this the trading-post
ναύκληρός τις ἔχων πλοῖον μυριάδων τριῶν ἥμισυ,
shipmaster a-certain having ship of-myriads three and-a-half
καὶ θέλων αὐτὸ καθελκῦσαι εἰς θάλασσαν, ἐποίησεν δύο
and wishing it to-haul-down into sea he-spent two
ἑβδομάδας μετὰ πολλῶν ἐργατῶν· ἔλεγεν δὲ ὅτι τριακοσίους
weeks with many workers he-said and that three-hundred
ἐργάτας εἶχεν εἰς τὴν ἡμέραν· καὶ οὐκ ἠδυνήθη χαλάσαι τὸ
workers he-had for the day and not was-able to-lower the
πλοῖον εἰς τὴν θάλασσαν, οὐδὲ κινῆσαι αὐτὸ ἐκ τοῦ τόπου
ship into the sea nor to-move it from the place
αὐτοῦ. Ἦν γὰρ ἀπὸ ἀνδρῶν κακούργων τὸ πλοῖον. Ἐν
of-it it-was for from men evildoers the ship in
πολλῇ οὖν ἀθυμίᾳ ἦν ὁ κύριος τοῦ πλοίου καὶ θλίψει, καὶ
much then despondency was the lord of-the ship and affliction and
τί ποιῆσαι οὐκ εἶχεν. Κατ᾽ οἰκονομίαν δὲ Θεοῦ ἀπῆλθεν ὁ
what to-do not he-had by dispensation and of-God went-off the
γέρων εἰς τὰ μέρη ἐκεῖνα. Θεωρήσας οὖν ὁ ναύκληρος τὸν
old-man to the parts those having-seen then the shipmaster the
γέροντα, καὶ πεῖραν ἔχων αὐτοῦ, λέγει αὐτῷ· Κῦρι ἀββᾶ,
old-man and experience having of-him says to-him lord abba
εὖξαι τῷ πλοίῳ, ὅτι ἀπὸ μαγείας οὐ κατέρχεται εἰς τὴν
pray for-the ship because from sorcery not it-goes-down into the
θάλασσαν. Λέγει ὁ γέρων τῷ ναυκλήρῳ· Ὕπαγε, ποίησόν
sea says the old-man to-the shipmaster go make
μοι ἵνα μεταλάβω τροφῆς, καὶ ὁ Θεὸς ἔχει βοηθῆσαι.
for-me so-that I-may-partake of-food and — God is-able to-help

Τοῦτο δὲ εἶπεν ὁ γέρων, ἵνα ὁ ναύκληρος ἀπέλθῃ εἰς τὸν
this and said the old-man so-that the shipmaster might-go-off to the
ἴδιον οἶκον. Ἀπῆλθεν οὖν μόνος ὁ γέρων εἰς τὸ πλοῖον· καὶ
own house went-off then alone the old-man to the ship and
βάλλει τρεῖς μετανοίας τῷ Θεῷ, καὶ σφραγίζει τὸ πλοῖον
makes three penitences — to-God and seals the ship
τρίτον τῷ σημείῳ τοῦ σταυροῦ ἐπὶ τῷ ὀνόματι τοῦ
thrice with-the sign of-the cross in the name of-the
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ ἐλθὼν ὁ γέρων εἰς τὸν
Lord of-us Jesus Christ and having-come the old-man to the
οἶκον τοῦ ναυκλήρου, λέγει αὐτῷ· Ὕπαγε, τὸ πλοῖόν σου
house of-the shipmaster says to-him go the ship of-you
κατένεγκε εἰς τὴν θάλασσαν. Ὁ δὲ ναύκληρος πιστεύσας τῷ
bring-down into the sea the and shipmaster having-believed the
γέροντι, ἀπῆλθεν μετ' ὀλίγων πάνυ. Καὶ ἑλκυσάντων αὐτῶν,
old-man went-off with few very and having-hauled they
εὐθὺς εἰς θάλασσαν εὑρέθη. Καὶ πάντες ἐδόξασαν τὸν Θεόν.
at-once in sea it-was-found and all glorified — God

84 Οἱ τῆς αὐτῆς μονῆς Πατέρες διηγήσαντο ἡμῖν λέγοντες, ὅτι
the of-the same monastery Fathers related to-us saying that
Ἀναχωρητὴς εἰς τὰ ὄρη ταῦτα ἦν, πάνυ μέγας κατὰ
anchorite in the mountains these was very great according-to
Θεὸν, καὶ πολλὰ ἔτη ποιήσας βοσκόμενος. Ἐτελεύτησεν
God and many years having-spent grazing he-died
δὲ εἰς ἓν μικρὸν σπήλαιον, καὶ οὐκ ἔγνωμεν· ἐνομίζομεν
and in one small cave and not we-knew we-thought
δὲ ἡμεῖς, ὅτι εἰς ἄλλην ἔρημον ἀπῆλθεν. Τινὰ νύκτα οὖν
and we that to other desert he-went-off a-certain night then
ἔρχεται κατὰ τοὺς ὕπνους, καὶ φαίνεται τῷ νῦν Πατέρι
he-comes in the sleep and appears to-the now Father
ἡμῶν, τῷ καλῷ καὶ ἀγαθῷ ποιμένι ἀββᾷ Ἰουλιανῷ, λέγων·
of-us the fair and good shepherd abba Julian saying

Λάβε τινὰς, καὶ δεῦρο ἔπαρόν με ἐκ τοῦ τόπου ὅπου
take some(-men) and come take-up me from the place where
κεῖμαι, εἰς τὸ ὄρος τὸ λεγόμενον ἡ Ἔλαφος. Λαβὼν
I-lie on the mountain the called the Deer having-taken
οὖν ὁ Πατὴρ ἡμῶν τινας, ἀνήλυθεν εἰς τὸ ὄρος ὅπου
then the Father of-us some(-men) went-up to the mountain where
αὐτὸς εἶπεν. Καὶ πολλὰς ὥρας ζητήσαντες, οὐχ ηὕρομεν
he said and many hours having-searched not we-found
τὸ λείψανον τοῦ ἀναχωρητοῦ. Ἦν γὰρ διὰ τὸν χρόνον
the remains of-the anchorite was for because-of the time
ἡ εἴσοδος τοῦ σπηλαίου σκεπασθεῖσα τῶν ξύλων καὶ τῶν
the entrance of-the cave covered with-the wood and the
χιόνων. Μὴ εὑρόντων οὖν ἡμῶν, λέγει ὁ ἀββᾶς, Δεῦρο,
snows not having-found then we says the abba come
τέκνα, κατέλθωμεν. Καὶ ἐν τῷ μέλλειν ἡμᾶς κατέρχεσθαι,
children let-us-go-down and in the to-be-about us to-go-down
ἰδοὺ ἔλαφος ἐλθοῦσα καὶ σταθεῖσα ἀπὸ μικροῦ ἡμῶν,
behold deer having-come and having-stood from little(-distance) of-us
ἤρξατο τοῖς ποσὶν αὐτῆς ὀρύσσειν τὴν γῆν. Ὁ δὲ Πατὴρ
began with-the feet of-her to-dig the earth the and Father
ἡμῶν θεωρήσας λέγει ἡμῖν· Πιστεύσατε, τέκνα, ἐκεῖ τέθαπται
of-us having-seen says to-us believe children there is-buried
ὁ δοῦλος τοῦ Θεοῦ. Καὶ ὀρύξαντες εὕρομεν τὸ λείψανον
the servant — of-God and having-dug we-found the remains
σῶον· καὶ ἠνέγκαμεν εἰς τὴν μονὴν, καὶ ἐθάψαμεν αὐτόν.
whole and we-carried(-it) to the monastery and we-buried him
Διηγήσαντο δὲ ἡμῖν καὶ τοῦτο, λέγοντες, ὅτι Συνήθεια 85
related and to-us also this saying that custom
ἦν κατὰ μεγάλην ἁγίαν πέμπτην ἔρχεσθαι ἐνταῦθα τοὺς
was on great holy Thursday to-come here the
πτωχοὺς, καὶ τοὺς ὀρφανοὺς ταύτης τῆς χώρας, καὶ
poor and the orphans of-this the country and

λαμβάνειν αὐτοὺς ἀπὸ ἡμίσεως μοδίου σῖτον, ἤτοι καὶ
to-receive them from half modius grain or also
ἀπὸ πέντε εὐλογιῶν καὶ ἀπὸ φαλερῶν ε, καὶ ἀπὸ ξεστίου
from five blessings and from coins 5 and from pint
οἴνου, καὶ ἀπὸ ἡμίσεως ξεστίου μέλιτος. Πρὸ τούτων οὖν
of-wine and from half pint of-honey before these then
τριῶν ἐτῶν γέγονεν στένωσις τοῦ σίτου, καὶ ἐπιπράσκετο
three years there-was scarcity of-the grain and was-sold
ὁ σῖτος εἰς τὴν χώραν ταύτην τοῦ νομίσματος μόδιοι δύο.
the grain in the country this for-the solidus modii two
Ὡς οὖν ἦλθον αἱ νηστεῖαι, λέγουσίν τινες τῶν Πατέρων τῷ
as then came the fasts say some of-the Fathers to-the
ἡγουμένῳ ἡμῶν, ὅτι Κύριε ἀββᾶ, ἐφετῶς μὴ παράσχῃς τὴν
abbot of-us that lord abba this-year not supply the
κατὰ καιρὸν συνήθειαν τοῖς πτωχοῖς· ἵνα μὴ τοῖς ἀδελφοῖς
in season custom to-the poor so-that not for-the brothers
στενωθῇ τὸ μοναστήριον, ὅτι σῖτος οὐχ εὑρίσκεται. Ὁ δὲ
be-straitened the monastery because grain not is-found the and
ἀββᾶς ἤρξατο λέγειν τοῖς ἀδελφοῖς· Μὴ κόψωμεν, τέκνα,
abba began to-say to-the brothers not let-us-cut children
τὴν εὐλογίαν τοῦ Πατέρος ἡμῶν. Βλέπετε, ἐντολή ἐστιν
the blessing of-the Father of-us see commandment it-is
τοῦ γέροντος, οὐ συμφέρει ἡμῖν. Ὄντως αὐτός ἐστιν ὁ
of-the old-man not it-profits us really he is the(-one)
φροντίζων. Οἱ δὲ ἀδελφοὶ ἔμειναν ἀναγκάζοντες τὸν ἀββᾶν,
caring the and brothers remained compelling the abba
ὅτι Οὐκ ἀπαντᾷ τοῦτο ἡμῖν δοῦναι, οὐδὲ παρέχομεν. Τότε
that not it-suffices this to-us to-give nor we-supply then
λυπηθεὶς ὁ ἡγούμενος· Ὑπάγετε, εἴ τι θέλετε,
having-been-grieved the abbot go if anything you-wish
ποιήσατε. Κατὰ οὖν συνήθειαν οὐ δέδωκαν τὴν εὐλογίαν
do according-to then custom not they-gave the blessing

τῇ ἁγίᾳ πέμπτῃ, καὶ τῇ ἁγίᾳ παρασκευῇ. Ἀπῆλθεν
on-the holy Thursday and on-the holy Friday went-off
ὁ κρατῶν τὸ ὁρίον, καὶ ἀνοίξας θεωρεῖ ὅτι οὗτος ὁ
the(-one) holding the store and having-opened sees that this the
σῖτος ἐβλάστησεν· καὶ λοιπὸν ἠναγκάσθησαν ῥίψαι εἰς
grain sprouted and henceforth they-were-compelled to-throw(-it) into
θάλασσαν. Τότε ὁ ἀββᾶς ἤρξατο λέγειν τοῖς ἀδελφοῖς·
sea then the abba began to-say to-the brothers
Ὁ ἀθετῶν τὰς ἐπαγγελίας τοῦ Πατέρος αὐτοῦ,
the(-one) setting-aside the promises of-the Father of-him
ταῦτα πάσχει, τοὺς πόνους τῆς παρακοῆς τρυγήσατε.
these(-things) suffers the pains of-the disobedience gather
Πεντακόσιοι μόδιοι εἶχον ἀπελθεῖν, καὶ εἴχομεν καὶ τὸν
five-hundred modii were to-go-away and we-were-able both the
Πατέρα ἡμῶν Θεοδόσιον θεραπεῦσαι διὰ τῆς ὑπακοῆς,
Father of-us Theodosius to-serve through the obedience
καὶ τοὺς ἀδελφοὺς ἡμῶν τοὺς πτωχοὺς παραμυθήσασθαι.
and the brothers of-us the poor to-comfort
Ἰδοὺ ἀπώλετο ὁ σῖτος περὶ τὰ πεντακισχίλια μόδια. Τί
behold perished the grain about the five-thousand modii what
ὠφελήσαμεν ἑαυτοὺς, τέκνα; Ὄντως δύο ταῦτα τὰ πονηρὰ
did-we-profit ourselves children really two these the evil(-things)
ἐποιήσαμεν· ἓν, ὅτι τὴν ἐντολὴν τοῦ Πατέρος ἡμῶν
we-did one that the commandment of-the Father of-us
παρέβημεν· δεύτερον δὲ, ὅτι εἰς τὸν Θεὸν τὴν ἐλπίδα ἡμῶν
we-transgressed second and that in — God the hope of-us
οὐκ ἔσχομεν, ἀλλ᾽ εἰς τὸ ὁρίον ἡμῶν. Λοιπὸν, ἀδελφοὶ,
not we-had but in the store of-us henceforth brothers
ἐκ τούτου μάθωμεν, ὅτι Θεός ἐστιν ὁ διοικῶν πᾶσαν
from this let-us-learn that God is the(-one) governing all

τὴν ἀνθρωπότητα, καὶ ὅτι ὁ ἅγιος Θεοδόσιος ἀοράτως
the humanity and that the holy Theodosius invisibly
φροντίζει ὑπὲρ ἡμῶν τῶν τέκνων αὐτοῦ.
cares for us the children of-him

86 Θωμᾶς ὁ Αἰγιάριος διηγήσατο ἡμῖν, λέγων, ὅτι Ἐξερχόμενος
Thomas the Aegiarius related to-us saying that going-out
ἀπὸ Αἰγαιῶν μετὰ τὴν ἑορτὴν, χειμῶνος μεγάλου γινομένου,
from Aegae after the feast winter great happening
παρέβαλον εἰς τὴν μονὴν τοῦ ἀββᾶ Θεοδοσίου τοῦ εἰς
I-visited at the monastery — of-abba Theodosius the(-one) at
τὸν Σκόπελον. Καὶ ὡς ἤμην ἐκεῖ, γέγονέν τι τοιοῦτον·
the Scopelus and as I-was there there-happened something such
Ἀναχωρητής τις εἰς τὰ μέρη ἐκεῖνα ὑπῆρχεν βοσκόμενος·
anchorite a-certain in the parts those was grazing
καὶ ἤρχετο κατὰ ἁγίαν Κυριακὴν, καὶ μετελάμβανεν
and he-came on holy Lord's-day and partook
τῶν ἁγίων μυστηρίων. Ἐν μιᾷ οὖν ἐσκανδαλίσθη ὁ
of-the holy mysteries on one(-day) then was-scandalized the
ἀναχωρητὴς, καὶ ἐποίησεν ὡς πέντε ἑβδομάδας, καὶ οὐ
anchorite and spent about five weeks and not
παρεγένετο ἐν τῷ μοναστηρίῳ κατὰ τὴν συνήθειαν. Καὶ
came to the monastery according-to the custom and
οἱ τοῦ μοναστηρίου ἐλυποῦντο. Ὅτε οὖν ἤμην ἐκεῖ ἐν τῷ
the(-ones) of-the monastery grieved when then I-was there in the
μοναστηρίῳ, ἦλθεν ἐν Κυριακῇ. Καὶ ἰδόντες αὐτὸν οἱ τοῦ
monastery he-came on Lord's-day and having-seen him the of-the
μοναστηρίου Πατέρες, ἐχάρησαν· καὶ ἔβαλον αὐτῷ μετάνοιαν.
monastery Fathers rejoiced and made to-him penitence
Ἔβαλεν δὲ καὶ αὐτὸς, καὶ ἐποίησαν ἀγάπην. Καὶ μεταλαβὼν
made and also he and they-made love(-feast) and having-partaken
τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
of-the holy body and blood of-the Lord of-us Jesus

Χριστοῦ ὁ ἀναχωρητὴς, ἔθηκεν αὐτὸν εἰς μέσον τῆς
Christ the anchorite placed himself in middle of-the
ἐκκλησίας, καὶ εὐθὺς ἐτελειώθη, μὴ ἀσθενήσας τὸ σύνολον.
church and at-once was-perfected not having-been-ill at all
Ἔγνωσαν οὖν οἱ Πατέρες τοῦ μοναστηρίου, ὅτι προέγνω
knew then the Fathers of-the monastery that he-foreknew
τὴν τελευτὴν αὐτοῦ ὁ ἀναχωρητὴς, καὶ διὰ τοῦτο ἦλθεν,
the end of-him the anchorite and because-of this he-came
ἵνα μὴ ἔχων κατά τινος, ἀπέλθῃ πρὸς Κύριον.
so-that not having(-anything) against anyone he-might-go-away to (the)-Lord
Παρεβάλομεν εἰς κτῆμα ἀπὸ ἓξ μιλίων Ῥόσσου, καὶ δύο 87
we-visited at estate from six miles of-Rhosus and two
κοσμικοὶ γέροντες ἐξενοδόχησαν ἡμᾶς ἐν τῇ ἐκκλησίᾳ τοῦ
worldly old-men lodged us in the church of-the
κτήματος αὐτῶν. Τὸ δὲ κτῆμα ἦν ὑπὸ τὴν βάσιν τοῦ ὄρους.
estate of-them the and estate was under the base of-the mountain
Ἐν τῇ ἐκκλησίᾳ οὖν ἔδειξαν ἡμῖν πλάκας· καὶ λέγουσιν ἡμῖν,
in the church then they-showed us slabs and they-say to-us
ὅτι Ἐν τούτῳ τῷ μνημείῳ, Χριστιανοὶ, μέγας ἀναχωρητὴς
that in this the tomb Christians great anchorite
κεῖται. Λέγομεν αὐτοῖς· Πόθεν οἴδατε; Οἱ δὲ εἶπον ἡμῖν·
lies we-say to-them whence do-you-know they and said to-us
Πρὸ ἑπτὰ χρόνων ἐθεωροῦμεν οἱ τοῦ κτήματος τούτου
before seven years we-saw the(-ones) of-the estate this
κατὰ νύκτα, ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους τὸ φῶς ὡσεὶ
by night on the summit of-the mountain the light as-it-were
πυρός. Ἡμεῖς οὖν ἐνομίζομεν διὰ τὰ θηρία. Ἐπὶ πολλὰς
of-fire we then thought because-of the beasts for many
δὲ ἡμέρας τοῦτο ἐθεωροῦμεν. Ἀνήλθομεν οὖν ἐν μιᾷ,
and days this we-saw we-went-up then on one(-day)
καὶ σημεῖον οὐδὲν ἴδομεν, οὐδὲ τὰ φῶτα, οὐδὲ καιόμενον
and sign nothing we-saw nor the lights nor burning

εἰς τὴν ὕλην τιποτοῦν. Πάλιν *** νυκτὶ ἐθεωροῦμεν τὰ
in the wood anything again (lacuna) by-night we-saw the
αὐτὰ φῶτα *** οὖν ἐπὶ τρεῖς μῆνας τὸ πῦρ *** Ἐν
same lights (lacuna) then for three months the fire (lacuna) on
μιᾷ οὖν λαμβάνομέν τινας *** νυκτὸς μετὰ ὅπλων
one(-day) then we-take some(-men) (lacuna) by-night with arms
διὰ τὰ θηρία, ἀνερχόμεθα εἰς τὸ ὄρος πρὸς τὸ φῶς,
because-of the beasts we-go-up to the mountain to the light
καὶ ὅπου τὸ φῶς ἦν, ἐμείναμεν ἕως πρωΐ. Καὶ τῷ πρωΐ
and where the light was we-remained until morning and in-the morning
θεωροῦμεν μικρὸν σπήλαιον, ὅπου τὰ φῶτα ἐφαίνετο· καὶ
we-see small cave where the lights appeared and
εἰσελθόντες εὑρίσκομεν τὸν ἀναχωρητὴν νεκρόν. Ἐφόρει
having-gone-in we-find the anchorite dead he-wore
δὲ στιχάριον τρίχινον, καὶ ἀπὸ σειρᾶς μαντίον· ἐκράτει
and tunic hair and from rope mantle he-held
δὲ καὶ μεγαλεῖον ἔχον ἀργυροῦν σταυρόν. Ηὕρομεν
and also cowl having silver cross we-found
δὲ μετ᾽ αὐτοῦ πτυχία γεγραμμένα οὕτως· Ἐτελεύτησα
and with him tablets written thus I-died
ἐγὼ Ἰωάννης ὁ ταπεινὸς ἐν ἰνδικτιῶνι πεντεκαιδεκάτῃ.
I John the humble in indiction fifteenth
Ἐψηφίσαμεν οὖν χρόνον, καὶ ηὕρομεν ὅτι εἶχεν ἑπτὰ ἔτη
we-reckoned then time and we-found that he-had seven years
τελευτήσας. Οὕτως δὲ ἦν, ὡς σήμερον τελειωθείς. Καὶ
having-died thus and he-was as today perfected and
βαστάξαντες αὐτὸν, ἐθάψαμεν εἰς τὴν ἐκκλησίαν.
having-carried him we-buried in the church
88 Ἐν Θεοῦ πόλει παραγενομένων ἡμῶν, πρεσβύτερός τις
in of-God city having-arrived we presbyter a-certain
τῆς ἐκκλησίας διηγήσατο ἡμῖν περί τινος ἀββᾶ Θωμᾶ, ὅτι
of-the church related to-us about a-certain abba Thomas that

ἀποκρισιάριος ἦν κοινοβίου τῶν μερῶν Ἀπαμείας. Ἦλθεν
apocrisiarius he-was of-community of-the parts of-Apamea he-came
οὖν ἐν Θεοῦ πόλει διὰ χρείας τοῦ μοναστηρίου. Καὶ ὡς
then to of-God city for needs of-the monastery and as
ἐχρόνισεν ἐνταῦθα, ἐτελεύτησεν ἐν Δάφνῃ ἐν τῷ ναῷ τῆς
he-tarried here he-died at Daphne in the temple of-the
Ἁγίας Εὐφημίας. Οἱ οὖν τοῦ τόπου κληρικοὶ, ὡς ξένον
Holy Euphemia the then of-the place clerics as stranger
ἔθαψαν αὐτὸν ἐν τῷ ξενοταφίῳ. Τῇ οὖν ἄλλῃ ἡμέρᾳ
buried him in the strangers'-cemetery on-the then other day
θάπτουσιν γυναῖκα, καὶ τιθέασιν αὐτὴν ἐπάνω αὐτοῦ. Ἦν
they-bury woman and place her above him it-was
δὲ ὡσεὶ ὥρα δευτέρα· καὶ περὶ ὥραν ἐννάτην ἀνέβρασεν
and about hour second and about hour ninth threw-up
αὐτὴν ἡ γῆ. Οἱ δὲ τοῦ τόπου ἰδόντες τὸ γεγονὸς,
her the earth the(-ones) and of-the place having-seen the(-thing) having-happened
ἐθαύμασαν· εἶτα πάλιν εἰς ἑσπέραν ἔθαψαν αὐτὴν εἰς τὸ αὐτὸ
marveled then again at evening they-buried her in the same
μνημεῖον, καὶ τῇ ἑξῆς ἡμέρᾳ εὗρον τὸ λείψανον ἐπάνω
tomb and on-the next day they-found the remains above
τοῦ τάφου. Ἔλαβον οὖν τὸ σῶμα καὶ ἔθαψαν αὐτὸ εἰς ἄλλο
the grave they-took then the body and buried it in other
μνημεῖον. Μετὰ οὖν ὀλίγας ἡμέρας πάλιν ἔθαψαν γυναῖκα,
tomb after then few days again they-buried woman
καὶ ἔθηκαν ἐπάνω τοῦ μοναχοῦ· μὴ νομίσαντες ὅτι οὐκ
and placed(-her) above the monk not having-thought that not
ἐᾷ ἐπάνω αὐτοῦ γυναῖκα ταφῆναι. Ὡς οὖν καὶ ταύτην
he-allows above him woman to-be-buried as then also this(-one)
ἀνέβρασεν ἡ γῆ, τότε ἔγνωσαν, ὅτι ὁ γέρων οὐ παραδέχεται
threw-up the earth then they-knew that the old-man not admits
γυναῖκα ταφῆναι ἐπάνω αὐτοῦ. Τότε οὖν ἀνήγαγον τῷ
woman to-be-buried above him then then they-referred(-it) to-the

πατριάρχῃ Δομνίνῳ, καὶ ἐποίησεν πᾶσαν τὴν πόλιν μετὰ
patriarch Domninus and he-made all the city with
κηρῶν ἐλθεῖν εἰς Δάφνην, καὶ μετὰ ψαλμῳδίας καταγαγεῖν
candles to-come to Daphne and with psalmody to-bring-down
τὸ λείψανον τοῦ ἁγίου ἀνδρὸς ἐκείνου· καὶ ἀπέθηκαν αὐτὸ
the remains of-the holy man that and they-laid it
ἐν τῷ κοιμητηρίῳ, ἔνθα πολλὰ λείψανα ἁγίων μαρτύρων
in the cemetery where many remains of-holy martyrs
κεῖται· ποιήσας ἐπάνω αὐτοῦ καὶ εὐκτήριον μικρόν.
lie having-made over him also house-of-prayer small

89 Διηγήσατό τις τῶν Πατέρων ἡμῖν ἐν Θεοῦ πόλει, λέγων,
related someone of-the Fathers to-us in of-God city saying
ὅτι Ἀνήλθομεν ἐν μιᾷ εἰς τὸ ὄρος τὸ Ἀμανὸν, διά
that we-went-up on one(-day) to the mountain the Amanus for
τινα χρείαν, καὶ εὗρον σπήλαιον, καὶ εἰσελθὼν εὑρίσκω
a-certain need and I-found cave and having-gone-in I-find
ἀναχωρητὴν κλίναντα μὲν τὰ γόνατα αὐτοῦ, τὰς δὲ
anchorite having-bent indeed the knees of-him the and
χεῖρας ἐκτεταμένας ἔχοντα εἰς τὸν οὐρανὸν, ἔχοντα δὲ
hands stretched-out having to the heaven having and
καὶ τὰς τρίχας τῆς κεφαλῆς ἕως ἐδάφους. Ἐγὼ δὲ
also the hairs of-the head as-far-as ground I and
νομίσας αὐτὸν ζῆν, ἔβαλον αὐτῷ μετάνοιαν, λέγων· Εὖξαι
having-thought him to-live made to-him penitence saying pray
ὑπὲρ ἐμοῦ, Πάτερ. Ὡς οὖν οὐδὲν ἀπεκρίθη μοι, ἐγερθεὶς
for me Father as then nothing he-answered me having-risen
ἀπῆλθον πλησίον αὐτοῦ ἀσπάζεσθαι αὐτόν. Καὶ κρατήσας
I-went-off near him to-embrace him and having-held
αὐτὸν εὗρον αὐτὸν νεκρόν. Καὶ ἐάσας ἐξῆλθον. Καὶ
him I-found him dead and having-left(-him) I-went-out and
ἀπελθὼν ὀλίγον, θεωρῶ ἄλλο σπήλαιον, καὶ εἰσελθὼν,
having-gone-away little I-see other cave and having-gone-in

εὗρον γέροντα. Ὁ δὲ λέγει μοι· Καλῶς ἦλθες, ἀδελφέ·
I-found old-man he and says to-me well you-came brother
εἰσῆλθες εἰς τὸ ἄλλα σπήλαιον τοῦ γέροντος; Ἐγὼ δὲ
you-went-in to the other cave of-the old-man I and
ἀποκριθεὶς εἶπον αὐτῷ· Ναὶ, Πάτερ. Καὶ λέγει μοι· Μή
having-answered said to-him yes Father and he-says to-me not
τι ἐκεῖθεν ἔλαβες; Καὶ εἶπον, Οὔ. Τότε λέγει μοι· Φύσει,
anything from-there you-took and I-said no then he-says to-me truly
ἀδελφὲ, ἔχει ὁ γέρων τελειωθεὶς ἔτη δεκαπέντε. Οὕτως
brother has the old-man having-been-perfected years fifteen thus
δὲ ἦν ὡς πρὸ μιᾶς ὥρας κοιμηθεὶς, καὶ ποιήσαντός
and he-was as before one hour having-fallen-asleep and having-made
μοι τοῦ γέροντος εὐχὴν, ἀνεχώρησα δοξάζων τὸν Θεόν.
for-me the old-man prayer I-withdrew glorifying — God
Δύο ἀναχωρηταὶ ἦσαν ἐπάνω ὄρους Σινᾶ, εἰς τὸ ὄρος 90
two anchorites were above mountain of-Sinai on the mountain
τὸ λεγόμενον Πτερύγιον, πλησίον τοῦ Πιαπὶ ποταμοῦ, καὶ
the called Pterygion near the Piapi river and
τῆς μονῆς τοῦ ἀββᾶ Θεοδοσίου τοῦ εἰς τὸν Σκόπελον.
the monastery — of-abba Theodosius the(-one) at the Scopelus
Καὶ τελειωθέντος τοῦ γέροντος, ποιήσας εὐχὴν ὁ μαθητὴς
and having-been-perfected the old-man having-made prayer the disciple
αὐτοῦ, ἔθαψεν αὐτὸν εἰς τὸ ὄρος. Μετὰ οὖν ὀλίγας
of-him buried him on the mountain after then few
ἡμέρας, κατελθὼν ὁ μαθητὴς τοῦ ἀναχωρητοῦ ἐκ τοῦ
days having-come-down the disciple of-the anchorite from the
ὄρους, ἦλθεν πλησίον τῆς οἰκουμένης, καὶ εὑρίσκει τινὰ
mountain came near the inhabited(-world) and finds a-certain
ἄνθρωπον ἐργαζόμενον τὴν γῆν αὐτοῦ· καὶ λέγει αὐτῷ·
man working the land of-him and says to-him
Ποίησον ἀγάπην, καλόγηρε, λάβε ὀρύγιον καὶ ἄμην,
do (an)-act-of-love monk take mattock and shovel

καὶ δεῦρο μετ᾽ ἐμοῦ. Ὁ δὲ γεωργὸς εὐθὺς ὑπήκουσεν τοῦ
and come with me the and farmer at-once obeyed the
ἀναχωρητοῦ. Καὶ ὡς ἀπῆλθον εἰς τὸ ὄρος, ὑπέδειξεν
anchorite and as they-went-off to the mountain showed
ὁ ἀναχωρητὴς τῷ κοσμικῷ τὸν τάφον τοῦ γέροντος
the anchorite to-the worldling the grave of-the old-man
αὐτοῦ, τὸ μνῆμα τοῦ ἀναχωρητοῦ, καὶ λέγει αὐτῷ·
of-him the tomb of-the anchorite and says to-him
Ὄρυξον ὧδε. Καὶ δὴ ὀρύξαντος αὐτοῦ τὸ μνῆμα,
dig here and indeed having-dug he the tomb
ὁ ἀναχωρητὴς ἐστάθη εἰς προσευχήν· καὶ πληρώσας
the anchorite stood in prayer and having-completed
τὴν εὐχὴν, ἠσπάσατο τὸν κοσμικὸν, εἰπών· Εὖξαι ὑπὲρ
the prayer embraced the worldling having-said pray for
ἐμοῦ, κῦρι ἀδελφέ. Καὶ κατελθὼν ἔθηκεν ἑαυτὸν ἐπάνω
me lord brother and having-gone-down he-placed himself above
τοῦ γέροντος αὐτοῦ, καὶ παρέδωκεν τὴν ψυχήν. Ὁ δὲ
the old-man of-him and gave-up the soul the and
κοσμικὸς πάλιν τὸν τάφον σκεπάσας, ηὐχαρίστησεν τῷ
worldling again the grave having-covered gave-thanks —
Θεῷ. Καταβὰς δὲ ὡσεὶ λίθου βολὴν, ἐκ τοῦ ὄρους,
to-God having-come-down and about stone's throw from the mountain
ἔλεγεν ἑαυτῷ· Ὄντως εἶχον λαβεῖν εὐλογίαν τῶν ἁγίων.
he-said to-himself really I-ought to-take blessing of-the holy(-ones)
Καὶ δὴ ὑποστρέψας, οὐχ ηὗρε τὸν τάφον τῶν ἁγίων.
and indeed having-returned not he-found the grave of-the holy(-ones)

George goes naked thirty-five years. At Phasilais a brother sponges a hot oven with his robe, and Peter the grazer asks a place in the church built over his bones. Julian of Bostra drinks the poison the city's landowners set for him and takes no harm, and a brother follows his sworn friend into the world until he wins him back to the desert.

91 Ἔλεγόν τινες τῶν Πατέρων περὶ τοῦ ἀββᾶ Γεωργίου τοῦ
said some of-the Fathers about — abba George the
ἀναχωρητοῦ, ὅτι τριάκοντα πέντε ἔτη ἔμεινεν γυμνὸς
anchorite that thirty five years he-remained naked
περιερχόμενος εἰς τὰς ἐρήμους.
going-about in the deserts
Ἔλεγον δὲ πάλιν περὶ αὐτοῦ, ὅτι ὡς ἦν ἐν τοῖς ὄρεσιν
they-said and again about him that as he-was in the mountains
τοῦ μοναστηρίου τοῦ ἀββᾶ Θεοδοσίου εἰς τὸν Σκόπελον,
of-the monastery — of-abba Theodosius at the Scopelus
εἶχεν μαθητήν· καὶ τελευτήσαντος αὐτοῦ, μὴ ἔχων ἐργαλία
he-had disciple and having-died he not having tools
ὁ γέρων, ἵνα ὀρύξῃ καὶ θάψῃ τὸ σῶμα τοῦ ἀδελφοῦ,
the old-man so-that he-might-dig and bury the body of-the brother
κατέβη ἐκ τοῦ ὄρους παρὰ θάλασσαν· καὶ εὗρεν πλοῖον
went-down from the mountain to sea and found ship
ὁρμοῦντα. Καὶ παρακαλεῖ τόν τε ναύκληρον καὶ τοὺς
anchored and begs the both shipmaster and the
ναυτικοὺς, ἵνα ἀνέλθωσιν εἰς τὸ ὄρος μετ' αὐτοῦ, καὶ
sailors that they-would-go-up to the mountain with him and
θάψωσιν τὸν ἀδελφόν. Οἱ δὲ προθύμως ὑπήκουσαν τοῦ
bury the brother they and eagerly obeyed the
γέροντος· καὶ λαβόντες τὰ ἐπιτήδεια, ἀνῆλθον σὺν αὐτῷ·
old-man and having-taken the needful(-things) went-up with him

καὶ ὀρύξαντες ἔθαψαν τὸ σῶμα τοῦ ἀδελφοῦ. Εἷς οὖν τῶν
and having-dug buried the body of-the brother one then of-the
ναυτικῶν, ὀνόματι Θαλαίλεος κατανυγεὶς ἐπὶ τῇ ἀρετῇ
sailors by-name Thalaeleus having-been-pierced at the virtue
τοῦ γέροντος, παρεκάλει αὐτὸν, ἵνα συμμείνῃ αὐτῷ.
of-the old-man begged him that he-might-remain-with him
Ὁ δὲ γέρων λέγει, μὴ δύνασθαι αὐτὸν ὑπομεῖναι τὸν κόπον
the and old-man says not to-be-able him to-endure the toil
τῆς ἀσκήσεως. Ὁ δὲ νεώτερος ἔλεγεν· Ναὶ πάντως ἔχω
of-the discipline the and young-man said yes by-all-means I-am-able
ὑπομεῖναι. Καὶ δὴ μείνας μετὰ τοῦ γέροντος, ἐποίησεν
to-endure and indeed having-remained with the old-man he-spent
μετ' αὐτοῦ ἐνιαυτὸν ἕνα, κοπιῶν πάνυ δὴ ἐν τῇ ἀσκήσει.
with him year one toiling very indeed in the discipline
Μετὰ οὖν τὸν ἐνιαυτὸν, βάλλει μετάνοιαν ὁ ἀδελφὸς
after then the year makes penitence the brother
Θαλαίλεως τῷ γέροντι, λέγων· Εὖξαι ὑπὲρ ἐμοῦ, Πάτερ,
Thalaeleus to-the old-man saying pray for me Father
ὅτι ὁ Θεὸς διὰ τῶν ὑμετέρων εὐχῶν ἀπῆρεν ἀπ' ἐμοῦ τὸν
because — God through the your prayers took-away from me the
κόπον, καὶ οὐκέτι κοπιῶ, οὐδὲ οἱ ἀέρες με κατακοπῶσιν· οὐδὲ
toil and no-longer I-toil nor the airs me afflict nor
γὰρ εἰς τὸν καύσονα φλέγομαι, οὐδὲ πάλιν ἐν τῷ χειμῶνι
for in the heat I-burn nor again in the winter
ῥιγῶ· ἀλλ' ἐν πολλῇ ὑπάρχω ἀναπαύσει. Ὁ δὲ γέρων
I-shiver but in much I-am rest the and old-man
ηὐλόγησεν αὐτόν. Καὶ ποιήσας ἄλλους δύο ἥμισυ χρόνους
blessed him and having-spent other two and-a-half years
ὁ ἀδελφὸς Θαλαίλεος, προέγνω τὴν τελευτὴν αὐτοῦ. Καὶ
the brother Thalaeleus foreknew the end of-him and
παρακαλεῖ τὸν γέροντα, λέγων· Λάβε με εἰς τὰ Ἱεροσόλυμα,
begs the old-man saying take me to — Jerusalem

ἵνα προσκυνήσω τὸν ἅγιον σταυρὸν, καὶ τὴν ἁγίαν Χριστοῦ
so-that I-may-worship the holy cross and the holy of-Christ
τοῦ Θεοῦ ἡμῶν ἀνάστασιν. Ἐν ταύταις γὰρ ὁ Κύριος
the God of-us resurrection in these for the Lord
προσλαμβάνεταί με. Ὁ δὲ γέρων λαβὼν αὐτὸν, ἀπῆλθεν
takes-to-himself me the and old-man having-taken him went-off
ἐν τῇ ἁγίᾳ πόλει. Καὶ προσκυνησάντων αὐτῶν τοὺς ἁγίους
to the holy city and having-worshiped they the holy
καὶ σεβασμίους τόπους, κατελθόντων δὲ καὶ εἰς τὸν ἅγιον
and venerable places having-gone-down and also to the holy
Ἰορδάνην, καὶ βαπτισθέντων, μετὰ τρεῖς ἡμέρας ἐκοιμήθη ὁ
Jordan and having-been-baptized after three days fell-asleep the
ἀδελφὸς Θαλαίλεος. Καὶ ἔθαψεν αὐτὸν ὁ γέρων ἐν τῇ λαύρᾳ
brother Thalaeleus and buried him the old-man in the laura
τοῦ Κοπρουθᾶ. Καὶ μετὰ χρόνον τινὰ ἀνεπάη ὁ ἀββᾶς
— of-Coprutha and after time some went-to-rest — abba
Γεώργιος ὁ ἀναχωρητής· καὶ ἔθαψαν αὐτὸν οἱ τῆς αὐτῆς
George the anchorite and buried him the of-the same
λαύρας τοῦ Κοπρουθᾶ Πατέρες εἰς τὴν ἑαυτῶν ἐκκλησίαν.
laura — of-Coprutha Fathers in the their-own church
Διηγήσατο ἡμῖν ὁ ὅσιος Πατὴρ ἡμῶν ὁ ἀββᾶς Γεώργιος 92
related to-us the holy Father of-us — abba George
ὁ ἀρχιμανδρίτης τῆς μονῆς τοῦ ἁγίου Πατρὸς ἡμῶν
the archimandrite of-the monastery of-the holy Father of-us
Θεοδοσίου τῆς διακειμένης κατὰ τὴν ἔρημον τῆς ἁγίας
Theodosius the(-one) lying in the desert of-the holy
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, ἐμοὶ καὶ τῷ ἀδελφῷ
of-Christ the God of-us city to-me and to-the brother
Σωφρονίῳ τῷ σοφιστῇ λέγων, ὅτι Εἶχον ἀδελφὸν ἐνταῦθα
Sophronius the sophist saying that I-had brother here
ὀνόματι Γεώργιον Καππαδόκην· εἶχεν δὲ διακονίαν εἰς
by-name George Cappadocian he-had and service at

Φασιλαΐδα. Ἐν μιᾷ οὖν τῶν ἀδελφῶν ποιούντων ψωμία,
Phasilais on one(-day) then the brothers making loaves
ὑπέκαιεν τὸν φοῦρνον ὁ ἀδελφὸς Γεώργιος. Εἶτα μετὰ
heated the oven the brother George then after
τὸ καῦσαι αὐτὸν τὸν φοῦρνον, οὐχ εὗρεν ἔνθα ὤφειλεν
the to-heat him the oven not he-found where he-ought
σφογγίσαι τὸν φοῦρνον, τῶν ἀδελφῶν τοῦτο κρυψάντων,
to-sponge-out the oven the brothers this having-hidden
πρὸς τὸ πειρᾶσαι αὐτόν. Εἰσῆλθεν οὖν, καὶ ἐσφόγγισεν
for the to-test him he-went-in then and sponged-out
τὸν φοῦρνον εἰς τὸ ἱμάτιον αὐτοῦ· καὶ μηδὲν τὸ σύνολον
the oven with the garment of-him and nothing at all
βλαβεὶς ἐκ τοῦ πυρὸς ἐξῆλθεν. Ἐγὼ δὲ ἀκούσας
having-been-harmed from the fire came-out I and having-heard
ἐπετίμησα τοῖς ἀδελφοῖς ὡς πειράσασιν αὐτόν.
rebuked the brothers as having-tested him
Διηγήσατο ἡμῖν καὶ τοῦτο ὁ αὐτὸς ἀββᾶς Γεώργιος
related to-us also this the same abba George
Πατὴρ ἡμῶν περὶ τοῦ αὐτοῦ ἀδελφοῦ Γεωργίου, λέγων,
Father of-us about the same brother George saying
ὅτι Ἐν μιᾷ ἔβοσκεν χοίρους ἐν Φασιλαΐδι, καὶ ἦλθον
that on one(-day) he-was-feeding pigs at Phasilais and came
δύο λέοντες ἵνα χοῖρον ἁρπάσωσιν. Καὶ λαβὼν τὴν
two lions so-that pig they-might-seize and having-taken the
ῥάβδον αὐτοῦ, ἐδίωξεν αὐτοὺς ἕως τοῦ ἁγίου Ἰορδάνου.
staff of-him he-chased them as-far-as the holy Jordan
Πάλιν ὁ αὐτὸς Πατὴρ ἡμῶν διηγήσατο ἡμῖν λέγων, ὅτι
again the same Father of-us related to-us saying that
Ἤμελλον οἰκοδομεῖν τὸν ναὸν τοῦ ἁγίου Κηρυκοῦ ἐν
I-was-about to-build the temple of-the holy Cerycus at
Φασιλαΐδι· καὶ ὤρυξαν τὰ τοῦ ναοῦ θεμέλια. Φαίνεταί μοι
Phasilais and they-dug the of-the temple foundations appears to-me

κατὰ τοὺς ὕπνους μοναχός τις πάνυ ἀσκητής, φορῶν
in the sleep monk a-certain very ascetic wearing
ἀπὸ σειρᾶς κολόβιον, καὶ μικρὸν εἰς τοὺς ὤμους αὐτοῦ
of rope sleeveless-tunic and small on the shoulders of-him
ἐπιρριπτάριον ἀπὸ ψιαθίου· καὶ λέγει μοι πραείᾳ τῇ φωνῇ·
cape of mat and says to-me with-gentle the voice
Εἰπὲ, κῦρι ἀββᾶ Γεώργιε, ἁπλῶς ἔδοξέν σοι μετὰ
tell lord abba George simply it-seemed-good to-you after
τοσούτους κόπους καὶ τοσαύτην ἄσκησιν ἔξω με ἐᾶσαι
so-many toils and such discipline outside me to-leave
οὗ κτίζεις ναοῦ; Ἐγὼ δὲ τὸ ἱεροπρεπὲς τοῦ γέροντος
of-which you-build temple I and the priestly-dignity of-the old-man
αἰδεσθεὶς, λέγω αὐτῷ· Ὄντως γὰρ σὺ, κύριε, αὐτὸς τίς
having-revered say to-him really for you lord yourself who
ὑπάρχεις; Ὁ δὲ ἔφη· Ἐγώ εἰμι Πέτρος ὁ βοσκὸς τοῦ
are he and said I am Peter the grazer of-the
ἁγίου Ἰορδάνου. Ἐγὼ δὲ ἀναστὰς τῷ πρωΐ, ἐξέτεινα τὴν
holy Jordan I and having-risen in-the morning stretched-out the
διαγραφὴν τοῦ ναοῦ. Καὶ ὡς ὀρύσσω, εὗρον αὐτοῦ τὸ
plan of-the temple and as I-dig I-found of-him the
σῶμα κείμενον, ὡς καὶ ἐν τοῖς ὕπνοις αὐτὸν ἐθεασάμην.
body lying as also in the sleep him I-beheld
Καὶ ᾠκοδομήσας τὸ εὐκτήριον, ἐποίησα μνημεῖον κάλλιστον
and having-built the house-of-prayer I-made tomb most-beautiful
εἰς τὸν δεξιὸν ἔμβολον· κἀκεῖ αὐτὸν κατεθέμην.
in the right aisle and-there him I-laid
Διηγήσατο δὲ ἡμῖν ὁ αὐτὸς Πατὴρ ἡμῶν Γεώργιος 93
related and to-us the same Father of-us George
λέγων, ὅτι Ἐν μιᾷ ἀπῆλθον πρὸς τὸν ἀββᾶν Σισίννιον
saying that on one(-day) I-went-off to — abba Sisinnius
τὸν ἀναχωρητήν. Ἦν δὲ οὗτος ὁ γέρων ἐάσας τὴν ἰδίαν
the anchorite was and this the old-man having-left the own

ἐπισκοπὴν διὰ τὸν Θεὸν, καὶ ἐλθὼν πλησίον κώμης
bishopric for — God and having-come near village
ἐπιλεγομένης Βεταναβάρεως (ἀφέστηκεν δὲ τοῦ ἁγίου
called Betanabaris was-distant and from-the holy
Ἰορδάνου ὡς σημείοις ἓξ), ἡσυχάζων. Ὡς οὖν ἀπήλθομεν
Jordan about milestones six being-still as then we-went-off
πρὸς αὐτὸν, καὶ ἐκρούσαμεν πολλὰ, μετὰ πολλὴν ὥραν
to him and we-knocked much after long hour
ἤνοιξεν ἡμῖν ὁ μαθητὴς αὐτοῦ, καὶ λέγει μοι οὕτως·
opened to-us the disciple of-him and says to-me thus
Κῦρι ἀββᾶ, ἠσθένησεν ὁ γέρων μέχρι θανάτου, καὶ
lord abba was-ill the old-man unto death and
ηὔξατο τῷ Θεῷ μὴ ἐξελθεῖν αὐτὸν ἐκ τοῦ βίου, ἕως ἂν
prayed — to-God not to-go-out him from the life until —
ἀκούσῃ ὅτι ἦλθες ἐν ταύτῃ τῇ χώρᾳ. Ἤμην γὰρ ἐν
he-should-hear that you-came into this the country I-was for in
Κωνσταντινουπόλει, διὰ χρείαν τοῦ κοινοβίου, πρὸς τὸν
Constantinople for need of-the community to the
εὐσεβέστατον βασιλέα Τιβέριον. Ὡς οὖν ἀνῆλθεν πρὸς τὸν
most-pious emperor Tiberius as then he-went-up to the
γέροντα, καὶ ἀνήγγειλεν αὐτῷ περὶ ἐμοῦ, ποιήσας ὥραν
old-man and announced to-him about me having-spent hour
πολλὴν, κατῆλθεν, λέγων ἡμῖν· Κελεύσατε. Καὶ ἀνελθόντες
much he-came-down saying to-us command and having-gone-up
εὕρομεν τὸν γέροντα τελειωθέντα. Ἔγνων οὖν ὅτι ὡς
we-found the old-man perfected I-knew then that as
ἤκουσεν ὅτι ἐγὼ ἤμην ὁ κρούων, τότε πρὸς Κύριον
he-heard that I was the(-one) knocking then to (the)-Lord
ἀπῆλθεν. Καὶ ὡς ἀσπάζομαι αὐτὸν, λέγει μοι ὁ τεθνηκὼς
he-went-off and as I-embrace him says to-me the dead(-man)
πραέως· Καλῶς ἦλθεν ὁ ἀββᾶς μου· καὶ πάλιν ἐκοιμήθη.
gently well came the abba of-me and again fell-asleep

Τότε ἐδήλωσα εἰς τὸ κτῆμα, ἵνα ἔλθωσιν καὶ θάψωσιν
then I-sent-word to the estate that they-should-come and bury
τὸν γέροντα. Ὡς οὖν ἦλθον καὶ ὤρυσσον τὸ μνημεῖον, λέγει
the old-man as then they-came and dug the tomb says
ὁ μαθητὴς τοῦ γέροντος τοῖς τὸν τάφον ὀρύσσουσιν·
the disciple of-the old-man to-the(-ones) the grave digging
Ποιήσατε ἀγάπην, καὶ μικρὸν πλατύτερον ὀρύξατε, ἵνα
do (an)-act-of-love and little wider dig so-that
τοὺς δύο χωρήσῃ. Καὶ ἐν τῷ ὀρύσσειν αὐτοὺς, ἔθηκεν
the two it-may-hold and in the to-dig them he-placed
ἑαυτὸν εἰς τὸ ψιάθιον, καὶ ἀνεπάη. Καὶ ἐθάψαμεν τοὺς
himself on the mat and went-to-rest and we-buried the
δύο ὁμοῦ, τόν τε γέροντα, καὶ τὸν μαθητὴν αὐτοῦ.
two together the both old-man and the disciple of-him
Ὁ αὐτὸς Πατὴρ ἡμῶν Γεώργιος ὁ ἀρχιμανδρίτης 94
the same Father of-us George the archimandrite
διηγήσατο ἡμῖν περὶ τοῦ ἀββᾶ Ἰουλιανοῦ τοῦ γενομένου
related to-us about — abba Julian the(-one) having-become
ἐπισκόπου Βόστρων, λέγων, ὅτι μετὰ τὸ ἀπελθεῖν αὐτὸν
bishop of-Bostra saying that after the to-go-away him
ἐκ τοῦ κοινοβίου, καὶ γενέσθαι ἐπίσκοπον ἐν Βόστροις,
from the community and to-become bishop in Bostra
τινὲς τῶν κτητόρων τῆς πόλεως, μισόχριστοι ὄντες,
some of-the landowners of-the city Christ-hating being
ἠθέλησαν αὐτὸν διὰ φαρμάκων ἀνελεῖν. Καὶ δὴ πείθουσι
wished him through poisons to-kill and indeed they-persuade
τὸν ἐπικέρνην αὐτοῦ διὰ χρημάτων, καὶ διδοῦσιν αὐτῷ
the cupbearer of-him with money and give him
ἀναιρετικὸν, ἵνα ὡς κιρνᾷ τῷ μητροπολίτῃ, βάλῃ τὸ
deadly(-drug) so-that as he-mixes for-the metropolitan he-may-put the
φάρμακον εἰς τὸ ποτήριον αὐτοῦ. Ὁ δὲ παῖς ὡς ἐδιδάχθη,
poison into the cup of-him the and boy as he-was-taught

οὕτως καὶ ἐποίησεν. Καὶ ἐπιδεδωκὼς τὸ ποτήριον ὁ παῖς
thus also did and having-handed the cup the boy
τῷ θείῳ Ἰουλιανῷ μεμαγευμένον· ἐδέξατο, καὶ θεόθεν
to-the divine Julian bewitched he-received(-it) and from-God
ἔγνω τὴν ἐπιβουλὴν, καὶ τοὺς ταύτην πεποιηκότας.
knew the plot and the(-ones) this having-made
Δεξάμενος οὖν τὸ ποτήριον, τέθηκεν αὐτὸ ἔμπροσθεν
having-received then the cup he-placed it before
αὐτοῦ, μηδὲν ὅλως εἰπὼν τῷ παιδί· καὶ πέμψας
him nothing at-all having-said to-the boy and having-sent
μεταστέλλεται πάντας τοὺς κτήτορας, ἐν οἷς ἦσαν καὶ
summons all the landowners among whom were also
οἱ τὴν ἐπιβουλὴν αὐτῷ κατασκευάσαντες. Ὁ δὲ
the(-ones) the plot against-him having-contrived the and
θεῖος ὄντως Ἰουλιανὸς, μὴ θέλων παραδειγματίσαι τοὺς
divine truly Julian not wishing to-make-an-example-of the(-ones)
πεποιηκότας, πραέως λέγει τοῖς πᾶσιν· Ἐὰν νομίζετε
having-done(-it) gently says to-the all if you-think
τὸν ταπεινὸν Ἰουλιανὸν διὰ φαρμακείας φονεῦσαι, ἰδοὺ
the humble Julian through sorcery to-murder behold
ἔμπροσθεν ὑμῶν αὐτὸ πίνω. Καὶ σφραγίσας τρίτον τὸ
before you it I-drink and having-sealed thrice the
ποτήριον τῷ δακτύλῳ αὐτοῦ, καὶ εἰπὼν, Ἐν ὀνόματι
cup with-the finger of-him and having-said in name
τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος πίνω
of-the Father and of-the Son and of-the holy Spirit I-drink
τοῦτο τὸ ποτήριον, καὶ ἔμπροσθεν πάντων πιὼν αὐτὸ
this the cup and before all having-drunk it
ἀβλαβὴς διέμεινεν· καὶ ἰδόντες ἔβαλον αὐτῷ μετάνοιαν.
unharmed remained and having-seen they-made to-him penitence

Ἦν τις γέρων οἰκῶν ἐν τῇ μονῇ τοῦ Πατρὸς ἡμῶν 95
was a-certain old-man dwelling in the monastery of-the Father of-us
Θεοδοσίου, τὸ μὲν γένος Σεβαστοπόλεως τῆς Ἀρμενίας·
Theodosius by-the indeed race of-Sebastopolis — of-Armenia
τὸ ὄνομα αὐτοῦ Πατρίκιος, γέρων πάνυ (ἔλεγεν γὰρ αὐτὸν
the name of-him Patricius old-man very he-said for him
ἐτῶν ἑκατὸν δεκατριῶν), πραΰς καὶ ἡσύχιος. Διηγήσαντο
of-years hundred thirteen gentle and quiet related
οὖν ἡμῖν οἱ τοῦ αὐτοῦ τόπου Πατέρες περὶ τοῦ ἐναρέτου
then to-us the of-the same place Fathers about the virtuous
τούτου γέροντος, ὅτι ἡγούμενος ἦν τοῦ κοινοβίου τοῦ
this old-man that abbot he-was of-the community —
Ἀβαζάνου, καὶ ἐάσας τὴν ἡγουμενίαν, φοβηθεὶς τὸ κρῖμα
of-Abazanus and having-left the abbacy having-feared the judgment
(μεγάλων γὰρ ἀνδρῶν ἔλεγεν εἶναι τὰ λογικὰ ποιμαίνειν
of-great for men he-said to-be the rational to-shepherd
πρόβατα) ἦλθεν ἐνταῦθα ἐν ὑποταγῇ, τοῦτο μᾶλλον
sheep he-came here in subjection this rather
κρίνας ὠφέλειαν εἶναι ψυχῆς.
having-judged benefit to-be of-soul
Ἔλεγον δὲ ἡμῖν καὶ τοῦτο περὶ αὐτοῦ, ὅτι ἄλλος ὧδε 96
they-said and to-us also this about him that another here
γέγονε γέρων, τὸ μὲν γένος Ἄραψ, τὸ δὲ ὄνομα
was old-man by-the indeed race Arab by-the and name
Ἰουλιανὸς, ἀπὸ ὀμμάτων. Οὗτος ὁ ἀββᾶς Ἰουλιανὸς
Julian from eyes this — abba Julian
ἐσκανδαλίσθη ποτὲ εἰς Μακάριον τὸν ἀρχιεπίσκοπον
was-scandalized once at Macarius the archbishop
Ἱεροσολύμων, καὶ διέκρινε τὸ κοινωνῆσαι αὐτῷ. Ἐν μιᾷ
of-Jerusalem and hesitated the to-commune with-him on one(-day)
οὖν ὁ ἀββᾶς Ἰουλιανὸς δηλοῖ τῷ ἀββᾷ Συμεὼν τῷ
then — abba Julian makes-known — to-abba Symeon the(-one)

εἰς τὸ Θαυμαστὸν ὄρος (ἀπέχει δὲ ἀπὸ Θεουπόλεως
on the Wonderful mountain is-distant and from Theopolis
τὸ ὄρος μίλλια ἐννέα), λέγων· Τυφλός εἰμι, πούποτε
the mountain miles nine saying blind I-am anywhere
ἀπελθεῖν οὐ δύναμαι, οὔτε δὲ ἔχω τὸν δυνάμενόν με
go-away not I-can nor and I-have the(-one) able me
περιποιήσασθαι, καὶ κοινωνῆσαι Μακαρίῳ διακρίνομαι.
to-take-care-of and to-commune with-Macarius I-hesitate
Ἀλλὰ δήλωσόν μοι, Πάτερ, τί ὤφειλον ποιῆσαι περὶ τοῦ
but make-known to-me Father what I-ought to-do about the
πορνεύσαντος ἀδελφοῦ, καὶ τοῦ μετ' αὐτοῦ ὁρκωμοσίαν
having-fornicated brother and the(-one) with him oath-taking
ποιήσαντος. Δηλοῖ δὲ ὁ ἀββᾶς Συμεὼν τῷ ἀββᾷ
having-made makes-known and — abba Symeon — to-abba
Ἰουλιανῷ, λέγων· Μὴ ἀναχωρήσῃς, μηδὲ θελήσῃς σεαυτὸν
Julian saying not withdraw nor wish yourself
χωρῆσαι τῆς ἁγίας Ἐκκλησίας. Οὐδὲ γὰρ ἔχει κακὸν
to-separate from-the holy Church not for it-has evil
χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ
by-grace of-the Lord of-us Jesus Christ the Son —
Θεοῦ. Πλὴν καὶ τοῦτο γίνωσκε, ἀδελφὲ, ὅτι εἴ τις ἐὰν
of-God but also this know brother that if anyone —
προσκομίσει ἐν τῷ κοινοβίῳ ὑμῶν, ἔχετε ἐκεῖ γέροντα
makes-offering in the community of-you you-have there old-man
ὀνόματι Πατρίκιον· οὗτος δὲ ὁ γέρων ἵσταται ἔξω τοῦ
by-name Patricius this and the old-man stands outside the
ἱερατείου, ὑποκάτω πάντων, πλησίον τοῦ κατὰ δυσμὰς
sanctuary below all near the toward west
τοίχου τῆς ἐκκλησίας· καὶ λέγει καὶ αὐτὸς τὴν ἁγίαν εὐχὴν
wall of-the church and says also he the holy prayer
τῆς προσκομιδῆς, καὶ αὐτοῦ λογίζεται ἡ ἁγία ἀναφορά.
of-the oblation and his is-reckoned the holy anaphora

Ἔλεγεν ὁ ἀββᾶς Ἰωάννης ὁ ἀναχωρητὴς ὁ ἐπίκλην 97
said — abba John the anchorite the surnamed
Πυῤῥὸς, ὅτι Ἀκήκοα διηγουμένου τοῦ ἀββᾶ Στεφάνου
Pyrrhus that I-have-heard relating — of-abba Stephen
τοῦ Μωαβίτου, ὅτι Ὡς ἤμην ἐν τῷ κοινοβίῳ τοῦ ἁγίου
the Moabite that as I-was in the community of-the holy
Θεοδοσίου τοῦ μεγάλου κοινοβιάρχου, ἦσαν ἐκεῖ δύο ἀδελφοὶ
Theodosius the great cenobiarch were there two brothers
ποιήσαντες ὁρκωμοσίαν, ἵνα μήτε ἐν τῇ ζωῇ, μήτε ἐν τῷ
having-made oath-taking that neither in the life nor in the
θανάτῳ αὐτῶν χωρισθῶσιν ἀπ᾽ ἀλλήλων. Ὡς οὖν ἦσαν
death of-them they-should-be-separated from one-another as then they-were
ἐν τῷ κοινοβίῳ πάντας οἰκοδομοῦντες, ὁ εἷς ἀδελφὸς
in the community all edifying the one brother
ἐπολεμήθη εἰς πορνείαν, καὶ μὴ δυνάμενος βαστάσαι τὸν
was-warred-on to fornication and not being-able to-bear the
πόλεμον, λέγει τῷ ἀδελφῷ αὐτοῦ, Ἀπόλυσόν με, ἀδελφὲ,
war says to-the brother of-him release me brother
ὅτι εἰς πορνείαν πολεμοῦμαι, καὶ θέλω ἀπελθεῖν εἰς τὸν
because to fornication I-am-warred-on and I-wish to-go-away to the
κόσμον. Ὁ δὲ ἀδελφὸς ἤρξατο παρακαλεῖν αὐτὸν, καὶ λέγειν·
world the and brother began to-beg him and to-say
Μὴ, ἀδελφὲ, μὴ ἀπολέσῃς τὸν κόπον σου. Ὁ δὲ λέγει αὐτῷ·
not brother not lose the toil of-you he and says to-him
Ἢ ἐλθὲ μετ᾽ ἐμοῦ, ἵνα τὴν πρᾶξιν ποιήσω, ἢ ἀπόλυσόν με
either come with me so-that the deed I-may-do or release me
ἀπελθεῖν. Ὁ δὲ ἀδελφὸς μὴ θέλων ἀπολῦσαι αὐτὸν, ἀπῆλθεν
to-go-away the and brother not wishing to-release him went-off
μετ᾽ αὐτοῦ εἰς τὴν πόλιν. Εἰσῆλθεν οὖν εἰς τὸ καταγώγιον
with him to the city went-in then into the lodging
τῆς πορνείας ὁ πολεμηθείς· ὁ δὲ ἄλλος ἀδελφὸς ἔξω
of-the fornication the(-one) warred-on the and other brother outside

ἱστάμενος χοῦν λαβὼν ἐκ τῆς γῆς, ἔβαλλεν εἰς τὴν αὐτοῦ
standing dust having-taken from the earth threw on the his
κεφαλὴν· καὶ ἑαυτὸν συνέτριβεν. Ὡς οὖν ἐξῆλθεν ὁ
head and himself crushed as then came-out the(-one)
εἰσελθὼν εἰς τὸ πορνεῖον ποιήσας τὴν πρᾶξιν, λέγει αὐτῷ
having-gone-in to the brothel having-done the deed says to-him
ὁ ἄλλος ἀδελφός· Τί ὠφελήθης, ἀδελφέ μου, ἐκ τῆς
the other brother what were-you-benefited brother of-me from the
ἁμαρτίας; τί δὲ οὐκ ἐβλάβης; Ἄγωμεν πάλιν εἰς τὸν
sin what and not were-you-harmed let-us-go again to the
τόπον ἡμῶν. Ὁ δὲ λέγει αὐτῷ, Οὐκ ἔτι δύναμαι εἰσελθεῖν εἰς
place of-us he and says to-him no longer I-can go-in to
τὴν ἔρημον. Σὺ οὖν ὕπαγε. Ἐγὼ γὰρ εἰς τὸν κόσμον μενῶ.
the desert you then go I for in the world will-remain
Ὡς οὖν πολλὰ ποιήσας οὐκ ἔπεισεν αὐτὸν ἀκολουθῆσαι
as then much having-done not he-persuaded him to-follow
αὐτῷ εἰς τὴν ἔρημον, ἔμεινεν καὶ αὐτὸς σὺν αὐτῷ εἰς τὸν
him into the desert remained also he with him in the
κόσμον, καὶ ἔκαμνον οἱ δύο ἐργασίας, ἵνα τραφῶσιν.
world and toiled the two at-labors so-that they-might-be-fed
Κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν ὁ ἀββᾶς Ἀβράμιος ὁ
at that and the time — abba Abramius the(-one)
πρώην μὲν τὴν ἐν Κωνσταντινουπόλει λεγομένην τῶν
formerly indeed the in Constantinople called of-the
Ἀβραμιτῶν μονὴν συστησάμενος, ὁ καὶ γεγονὼς
Abramites monastery having-founded the(-one) also having-become
ὕστερον ἀρχιεπίσκοπος Ἐφέσου, ὁ καλὸς καὶ πρᾶος
later archbishop of-Ephesus the fair and gentle
ποιμὴν ἔκτιζεν τὸ ἑαυτοῦ μοναστήριον, τὸ ἐπιλεγόμενον
shepherd was-building the his-own monastery the(-one) called
τῶν Βυζαντίων. Ἀπελθόντες οὖν οἱ δύο ἀδελφοὶ ἔκαμνον
of-the Byzantines having-gone-off then the two brothers toiled

ἐκεῖσε ἐργασίας, καὶ ἐλάμβανον τὸν μισθόν. Καὶ ὁ
there at-labors and received the wage and the(-one)
ἐμπεσὼν εἰς πορνείαν, ἐλάμβανεν τῶν δύο τὸν μισθὸν,
having-fallen into fornication received of-the two the wage
καὶ ὑπῆγεν καθ' ἑκάστην εἰς τὴν πόλιν, καὶ ἐδαπάνα
and went on each(-day) to the city and spent
αὐτὸν εἰς ἀσωτίας. Ὁ δὲ ἄλλος πᾶσαν ἡμέραν ἐνήστευσε,
it on prodigalities the and other every day fasted
καὶ μετὰ πάσης ἡσυχίας ποιῶν ἦν τὸ ἔργον· μὴ λαλῶν
and with all stillness doing was the work not talking
πρός τινα. Τοῦτον θεωροῦντες καθ' ἑκάστην οἱ τεχνῖται,
to anyone him seeing on each(-day) the craftsmen
μήτε ἐσθίοντα, μήτε λαλοῦντα, ἀλλὰ σύννουν ἀεὶ, λέγουσι
neither eating nor talking but thoughtful always tell
τὰ περὶ αὐτοῦ, καὶ τὰ τῆς διαγωγῆς αὐτοῦ,
the(-things) about him and the(-things) of-the conduct of-him
τῷ ἐν ἁγίοις ἀββᾷ Ἀβραμίῳ. Τότε ὁ μέγας Ἀβράμιος
to-the among saints abba Abramius then the great Abramius
μεταστέλλεται τὸν ἐργάτην ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ ἐρωτᾷ
summons the laborer in the cell of-him and asks
αὐτὸν, λέγων· Πόθεν εἶ, ἀδελφέ; καὶ τίς σού ἐστιν ἡ
him saying whence are-you brother and what of-you is the
ἐργασία; Ὁ δὲ πάντα ἐξωμολογήσατο αὐτῷ, καὶ ὅτι Διὰ
work he and all confessed to-him and that for
τὸν ἀδελφὸν πάντα ὑπομένω, ἵνα ὁ Θεὸς βλέπων τὴν
the brother all I-endure so-that — God seeing the
ἐμὴν θλῖψιν, σώσῃ τὸν ἀδελφόν μου. Ταῦτα ἀκούσας ὁ
my affliction may-save the brother of-me these(-things) having-heard the
θεῖος Ἀβράμιος, λέγει τῷ ἀδελφῷ· Καὶ Κύριος ἐχαρίσατό
divine Abramius says to-the brother also (the)-Lord has-granted
σοι τὴν ψυχὴν τοῦ ἀδελφοῦ σου. Ὡς οὖν ἀπέλυσεν
you the soul of-the brother of-you as then released

ὁ ἀββᾶς Ἀβράμιος τὸν ἀδελφὸν, καὶ ἐξῆλθεν ἐκ τοῦ
— *abba Abramius the brother and he-went-out from the*
κελλίου αὐτοῦ, ἰδοὺ καὶ ὁ ἀδελφὸς αὐτοῦ κράζων· Ἀδελφέ
cell of-him behold also the brother of-him crying brother
μου, λάβε με εἰς τὴν ἔρημον, ἵνα σωθῶ. Εὐθέως οὖν
of-me take me into the desert so-that I-may-be-saved at-once then
λαβὼν αὐτὸν, ἀπῆλθεν εἰς τὸ σπήλαιον, πλησίον τοῦ
having-taken him he-went-off to the cave near the
ἁγίου Ἰορδάνου, καὶ ἐνέκλεισεν αὐτὸν, καὶ μετ᾽ ὀλίγον
holy Jordan and shut-in him and after little
χρόνον μεγάλως κατὰ τὸν Θεὸν προκόψας πρὸς πνεῦμα,
time greatly according-to — God having-advanced to spirit
ἀπεδήμησεν. Ἔμεινεν δὲ ὁ ἀδελφὸς ἐν αὐτῷ τῷ σπηλαίῳ
departed remained and the brother in very the cave
κατὰ τὸν ὅρκον, ἵνα ἐκεῖ τελειωθῇ καὶ αὐτός.
according-to the oath that there he-might-be-perfected also he

98 Τούτῳ τῷ ἀδελφῷ καθημένῳ ἐν τῷ ἁγίῳ Ἰορδάνῃ μετὰ τὴν
to-this the brother sitting at the holy Jordan after the
κοίμησιν τοῦ ἀδελφοῦ, παρέβαλέν τις γέρων ἀπὸ τῆς
falling-asleep of-the brother visited a-certain old-man from the
λαύρας τοῦ Καλαμῶνος, καὶ λέγει αὐτῷ· Εἰπέ μοι, ἀδελφὲ,
laura — of-Calamon and says to-him tell me brother
ἐν τῷ τοσούτῳ χρόνῳ τῆς ἡσυχίας καὶ τῆς ἀσκήσεως τί
in the so-great time of-the stillness and of-the discipline what
κατώρθωσας; Λέγει αὐτῷ ὁ ἀδελφός· Ὕπαγε καὶ ἔρχου μετὰ
you-achieved says to-him the brother go and come after
καὶ δουλεύω ὑμῖν. Τότε οἱ Βάρβαροι ἔλαβον αὐτὸν, καὶ
and serve you then the barbarians took him and
τὰ ὀκτὼ νομίσματα λεγόμενα, καὶ ἀπέλυσαν τοὺς τρεῖς.
the eight solidi said and released the three
Ἀπῆλθεν οὖν ὁ ἀββᾶς Λέων ἕως τινὸς μετ' αὐτῶν,
went-off then — abba Leo as-far-as some(-distance) with them

καὶ ἀτονήσαντα ἀπεκεφάλισαν αὐτόν· καὶ ἐπλήρωσεν ὁ
and having-grown-weak they-beheaded him and fulfilled —
ἀββᾶς Λέων τὴν λέγουσαν Γραφήν· «Μείζονα ταύτης
abba Leo the saying Scripture greater than-this
ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ
love no-one has that anyone lay-down the soul of-him for
τῶν φίλων αὐτοῦ.» Τότε καὶ ἡμεῖς ἔγνωμεν, ὅτι τοῦτο ἦν
the friends of-him then also we knew that this was
ὃ ἔλεγεν, ὅτι Βασιλεῦσαι ἔχω. Ὄντως γὰρ ἐβασίλευσεν,
what he-said that to-reign I-am really for he-reigned
θεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ.
having-laid-down the soul of-him for the friends of-him
Ἀπῆλθον πρὸς τὸν ἀββᾶν Ἰωάννην τὸν τῆς Πέτρας, 113
I-went-off to — abba John the(-one) of-the Rock
λαβὼν καὶ τὸν ἑταῖρον Σωφρόνιον, καὶ ἐπηρωτήσαμεν
having-taken also the companion Sophronius and we-asked
αὐτὸν εἰπεῖν ἡμῖν λόγον. Ὁ δὲ γέρων εἶπεν· Ἀγαπήσατε
him to-tell us word the and old-man said love
τὴν ἀκτημοσύνην, καὶ τὴν ἐγκράτειαν. Πιστεύσατέ μοι
the poverty and the continence believe me
γὰρ λέγοντι, ὅτι Ὅτε ἤμην ἐν τῇ Σκήτει, ἐν τῇ νεότητί
for saying that when I-was in — Scetis in the youth
μου, τὶς τῶν Πατέρων τὸν σπλῆνα αὐτοῦ ἐπόνεσεν,
of-me one of-the Fathers the spleen of-him ached
καὶ κρασίον ὄξους ἐζητήθη, εἰς τὰς τέσσαρας λαύρας
and little-wine of-vinegar was-sought in the four lauras
τῆς Σκήτεως, καὶ οὐχ εὑρέθη· τοσαύτη οὖν παρ' αὐτοῖς
— of-Scetis and not was-found such then among them
ἀκτημοσύνη καὶ ἐγκράτεια. Ἦσαν δὲ ἐκεῖ Πατέρες ὡσεὶ
poverty and continence were and there Fathers about
τρισχίλιοι πεντακόσιοι.
three-thousand five-hundred

114 Ὁ αὐτὸς γέρων διηγήσατο ἡμῖν πάλιν περὶ τοῦ ἀββᾶ
the same old-man related to-us again about — abba
Δανιὴλ, τοῦ Αἰγυπτίου, λέγων, ὅτι Ἀνῆλθεν ὁ γέρων
Daniel the Egyptian saying that went-up the old-man
ἐν μιᾷ εἰς Τερενούθην, τὸ ἐργόχειρον αὐτοῦ πωλῆσαι.
on one(-day) to Terenuthis the handiwork of-him to-sell
Νεώτερος δέ τις παρεκάλει τὸν γέροντα, λέγων· Διὰ
young-man and a-certain begged the old-man saying for
τὸν Θεὸν, καλόγηρε, δεῦρο εἰς τὸν οἰκόν μου. Καὶ ποίησον
— God monk come to the house of-me and make
ἐπάνω τῆς γυναικός μου εὐχὴν, ὅτι στείρα ἐστίν. Ὁ
over the wife of-me prayer because barren she-is the
δὲ γέρων βιασθεὶς ὑπὸ τοῦ νεωτέρου, ἀπῆλθεν μετ'
and old-man having-been-pressed by the young-man went-off with
αὐτοῦ εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐποίησεν εὐχὴν τῇ
him to the house of-him and made prayer for-the
γυναικὶ αὐτοῦ. Καὶ τοῦ Θεοῦ θελήσαντος ἔσχεν ἡ γυνὴ
wife of-him and — God having-willed got the wife
κατὰ γαστρός. Τινὲς οὖν ἄνδρες μὴ φοβούμενοι τὸν Θεὸν,
in womb some then men not fearing — God
ἤρξαντο διαβάλλειν τὸν γέροντα, καὶ λέγειν, ὅτι Ἀληθῶς
began to-slander the old-man and to-say that truly
ὁ νεώτερος ἄγονός ἐστι· ἀλλ' ἐκ τοῦ ἀββᾶ Δανιὴλ ἔσχεν
the young-man sterile is but from — abba Daniel conceived
ἡ γυνή. Ἦλθεν οὖν ἡ ἀκοὴ αὕτη πρὸς τὸν γέροντα. Καὶ
the wife came then the report this to the old-man and
δηλοῖ ὁ γέρων τῷ ἀνδρὶ τῆς γυναικὸς, ὅτι Ὅταν
makes-known the old-man to-the husband of-the wife that when
γεννήσῃ ἡ γυνή σου, δήλωσόν μοι. Ὅταν οὖν ἐγέννησεν ἡ
bears the wife of-you make-known to-me when then bore the
γυνὴ, δηλοῖ αὐτῷ ὁ νεώτερος, λέγων· Διὰ τοῦ Θεοῦ
wife makes-known to-him the young-man saying through — God

καὶ τῶν εὐχῶν σου, Πάτερ, ἐγέννησεν. Τότε ὁ ἀββᾶς
and the prayers of-you Father she-bore then — abba
Δανιὴλ ἀπελθὼν λέγει τῷ νεωτέρῳ· Ποίησον ἄριστον,
Daniel having-gone-away says to-the young-man make breakfast
καὶ κάλει σου τοὺς συγγενεῖς καὶ τοὺς φίλους σου. Ὡς
and call of-you the kinsmen and the friends of-you as
οὖν ἠρίστων, λαβὼν ὁ γέρων τὸ παιδίον εἰς τὰς χεῖρας
then they-breakfasted having-taken the old-man the child in the hands
αὐτοῦ, ἔμπροσθεν πάντων λέγει τῷ παιδίῳ· Τίς ἐστιν ὁ
of-him before all says to-the child who is the
πατήρ σου; Λέγει ὁ παῖς· Οὗτος· δείξας τῷ δακτύλῳ
father of-you says the child this(-one) having-pointed with-the finger
τῆς χειρὸς τὸν νεώτερον. Ἦν δὲ ὁ παῖς ἡμερῶν εἴκοσι
of-the hand the young-man was and the child of-days twenty
δύο, καὶ ἐδόξασαν πάντες τὸν Θεὸν τὸν φυλάσσοντα
two and glorified all — God the guarding
ἀλήθειαν τοῖς ἐκζητοῦσιν αὐτὸν ἐν ὅλῃ καρδίᾳ.
truth for-the(-ones) seeking him in whole heart
Ἔλεγεν ὁ ἀββᾶς Ἰωάννης ὁ Κίλιξ ὁ ἡγούμενος τῆς 115
said — abba John the Cilician the abbot —
Ῥαϊθοῦ, τοῖς ἀδελφοῖς· Τέκνα, ὡς ἐφύγομεν τὸν κόσμον,
of-Raithou to-the brothers children as we-fled the world
φύγωμεν καὶ τὰς ἐπιθυμίας τῆς σαρκός.
let-us-flee also the desires of-the flesh
Εἶπεν πάλιν· Μιμησώμεθα τοὺς Πατέρας ἡμῶν· μετὰ
he-said again let-us-imitate the Fathers of-us with
ποίας σκληραγωγίας καὶ ἡσυχίας ἐκάθισαν ὧδε.
what hardship and stillness they-sat here
Εἶπεν πάλιν· Μὴ ῥυπώσωμεν, τέκνα, τὸν τόπον τοῦτον,
he-said again not let-us-defile children the place this
ὃν οἱ Πατέρες ἡμῶν ἐκαθάρισαν ἀπὸ τῶν δαιμόνων.
which the Fathers of-us cleansed from the demons

Εἶπεν πάλιν· Ὁ τόπος οὗτος ἀσκητῶν ἐστιν, οὐ
he-said again the place this of-ascetics is not
πραγματευτῶν.
of-merchants
Εἶπεν πάλιν· Ἔφθασα γέροντας, ἀπὸ ἑβδομήκοντα ἐτῶν
he-said again I-reached old-men from seventy years
ποιήσαντας, βοτάνας καὶ φοίνικας ἐσθίοντας μόνον.
having-spent herbs and dates eating only
Εἶπεν πάλιν ὁ γέρων· Ἑβδομήκοντα ἓξ ἔτη ἔχω ἐν τῷ
he-said again the old-man seventy six years I-have in the
τόπῳ τούτῳ, πολλὰ δεινὰ καὶ κακὰ παθὼν ὑπὸ τῶν
place this many terrible and evil(-things) having-suffered by the
δαιμόνων.
demons
116 Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Ἀνδρέας Μεσσήνιος, ὅτι Ὅτε
related to-us — abba Andrew Messenian that when
ἤμην νεώτερος, ἀνεχώρησα ἐγὼ καὶ ὁ ἀββᾶς μου, ἀπὸ
I-was younger withdrew I and the abba of-me from
τῆς Ῥαϊθοῦ, καὶ ἐξήλθομεν εἰς Παλαιστίνην· ἐμείναμεν
— Raithou and went-out to Palestine we-stayed
δὲ πρὸς ἕνα γέροντα. Ὁ οὖν γέρων ὁ ὑποδεξάμενος
and with one old-man the then old-man the(-one) having-received
ἡμᾶς, εἶχε νόμισμα ἕν. Ἐπλανήθη ποῦ τέθηκεν αὐτὸ,
us had solidus one he-forgot where he-had-placed it
καὶ ὑπέλαβεν ὅτι ὁ νεώτερος ἐγὼ αὐτὸ ἔκλεψα. Ἔλεγεν
and supposed that the younger I it stole said
οὖν ὁ γέρων τοῖς Πατράσιν τοῦ τόπου, ὅτι Ὁ ἀδελφὸς
then the old-man to-the Fathers of-the place that the brother
Ἀνδρέας τὸ νόμισμα ἔλαβεν. Ἤκουσεν δὲ ὁ ἀββᾶς μου,
Andrew the solidus took heard and the abba of-me
καὶ φωνήσας με, λέγει· Εἰπὲ, Ἀνδρέα, σὺ ἔλαβες τὸ
and having-called me says tell Andrew you took the

νόμισμα τοῦ γέροντος; Λέγω ἐγώ· Φεῖσον, ἀββᾶ, οὐδὲν
solidus of-the old-man I-say I spare(-me) abba nothing
ἔλαβον. Εἶχον οὖν παλλίον, καὶ ἐπώλησα τοῦ νομίσματος·
I-took I-had then cloak and I-sold(-it) for-the solidus
καὶ λαβὼν τὸ νόμισμα, ὑπάγω πρὸς τὸν γέροντα, καὶ
and having-taken the solidus I-go to the old-man and
βάλλω αὐτῷ μετάνοιαν· καὶ λέγω· Συγχώρησόν μοι, ὦ
I-make to-him penitence and I-say forgive me O
κύριε ἀββᾶ, ὅτι ὁ Σατανᾶς ἐχλεύασεν, καὶ ἔλαβον τὸ
lord abba that — Satan mocked and I-took the
νόμισμά σου. Εὑρέθη δὲ ἐκεῖ καὶ κοσμικός τις, καὶ λέγει
solidus of-you was-found and there also worldling a-certain and says
μοι ὁ γέρων· Ὕπαγε, τέκνον, οὐδὲν ἀπώλεσα. Πάλιν οὖν
to-me the old-man go child nothing I-lost again then
ἔβαλον μετάνοιαν, λέγων· Διὰ τὸν Κύριον ἀπόλαβε τὸ
I-made penitence saying for the Lord take-back the
νόμισμα, ἰδοὺ τοῦτό ἐστιν, καὶ ποίησόν μοι εὐχὴν ὅτι
solidus behold this is(-it) and make for-me prayer because
ὁ Σατανᾶς ἐνέβαλέν μοι, ἵνα κλέψω αὐτὸ, καὶ θλίψω
— Satan put-into me that I-should-steal it and afflict
σε. Λέγει ὁ γέρων· Τέκνον, οὐκ ἀπώλεσα τιποτοῦν. Ὡς
you says the old-man child not I-lost anything as
οὖν οὐκ ἔπεισέ με, τότε λέγει μοι ὁ κοσμικός· Ὄντως,
then not he-persuaded me then says to-me the worldling really
κύριε ἀδελφὲ, τῇ χθὲς ἐλθὼν εὗρον τὸν γέροντα
lord brother on-the yesterday having-come I-found the old-man
κλαίοντα, καὶ βάλλοντα μετάνοιαν, καὶ ἐν θλίψει πολλῇ
weeping and making penitence and in affliction much
ὄντα. Ὡς οὖν εἶδον τὸν γέροντα ἐν τοιαύτῃ θλίψει, λέγω
being as then I-saw the old-man in such affliction I-say
αὐτῷ· Ποίησον ἀγάπην· τί ἐστιν ὃ ἔχεις; Λέγει μοι
to-him do (an)-act-of-love what is(-it) which you-have says to-me

ὁ γέρων, ὅτι Τὸν ἀδελφὸν ἐσυκοφάντησα, ὅτι τὸ νόμισμα
the old-man that the brother I-falsely-accused that the solidus
ἔλαβεν· καὶ ἰδοὺ, εὗρον αὐτὸ, ὅπου τέθηκα αὐτό. Τότε ὁ
he-took and behold I-found it where I-had-placed it then the
γέρων οἰκοδομηθεὶς ἐπ᾽ ἐμὲ, ὅτι οὐκ ἔλαβον, καὶ ἐπήνεγκα
old-man having-been-edified at me that not I-took(-it) and I-brought
αὐτὸ, λέγων· Λάβε τὸ νόμισμα· ἐγὼ γὰρ αὐτὸ ἔλαβον
it saying take the solidus I for it took
117 Ἀδελφὸς δαιμόνιον ἔχων, παρέβαλεν τῷ ἀββᾷ Συμεῶνι τῷ
brother demon having visited — to-abba Symeon the
Στυλίτῃ εἰς τὸ Θαυμαστὸν Ὄρος, ἵνα εὐχὴν ὑπὲρ αὐτοῦ
Stylite at the Wonderful Mountain so-that prayer for him
ποιήσῃ, καὶ ἀποδιώξῃ ἀπ᾽ αὐτοῦ τὸν δαίμονα. Λέγει
he-might-make and drive-away from him the demon says
αὐτῷ ὁ ἀββᾶς Συμεών· Ποῦ κάθῃ; Λέγει ὁ ἀδελφός·
to-him — abba Symeon where you-sit says the brother
Εἰς Ῥαϊθοῦ. Ἀπεκρίθη ὁ γέρων· Θαυμάζω, ἀδελφὲ, πόσον
at Raithou answered the old-man I-marvel brother how-much
κόπον ὑπέμεινας, καὶ τοσαύτην ὁδὸν ἤνυσας, ἵνα πρός με
toil you-endured and such road completed that to me
ἔλθῃς, εἰς ἄνθρωπον ἁμαρτωλὸν, τοιούτους Πατέρας
you-should-come to man sinner such Fathers
ἔχων ἐν τῇ λαύρᾳ σου. Ὕπαγε οὖν πρὸς τὸν ἀββᾶν
having in the laura of-you go then to — abba
Ἀνδρέαν, καὶ βάλε αὐτῷ μετάνοιαν, ἵνα εὔξηται ὑπὲρ
Andrew and make to-him penitence that he-may-pray for
σοῦ, καὶ εὐθέως θεραπεύει. Ὁ δὲ ἀδελφὸς ἀπελθὼν εἰς
you and at-once he-heals the and brother having-gone-away to
Ῥαϊθοῦ, ἔβαλεν μετάνοιαν τῷ ἀββᾷ Ἀνδρέᾳ, καθὼς εἶπεν
Raithou made penitence — to-abba Andrew as told
αὐτῷ ὁ ἀββᾶς Συμεώνιος, λέγων· Εὖξαι ὑπὲρ ἐμοῦ, ἀββᾶ.
him — abba Symeon saying pray for me abba

Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀνδρέας· Ἔλαβεν τὴν χάριν τῆς
says to-him — abba Andrew took the grace of-the
ἰάσεως ὁ ἀββᾶς Συμεώνιος. Καὶ ποιήσαντος αὐτοῦ εὐχὴν,
healing — abba Symeon and having-made him prayer
εὐθέως ἐκαθαρίσθη ὁ ἀδελφὸς, καὶ ηὐχαρίστησεν τῷ Θεῷ.
at-once was-cleansed the brother and gave-thanks — to-God
Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Σέργιος ὁ τῆς Ῥαϊθοῦ, περί 118
related to-us — abba Sergius the(-one) — of-Raithou about
τινος ἀδελφοῦ διακόνου γενομένου τῶν ἐκεῖσε, ὀνόματι
a-certain brother deacon having-become of-the(-ones) there by-name
Μηνᾶ, λέγων οὕτως, ὅτι Οὗτος ἐξῆλθεν εἰς διακόνημα εἰς
Menas saying thus that this(-one) went-out on errand into
τὸν κόσμον, καὶ τί γέγονεν αὐτῷ, οὐκ ἴσμεν, πλὴν ὅτι
the world and what happened to-him not we-know except that
εἴασε τὸ σχῆμα μοναχικὸν, καὶ γέγονε λαϊκός. Μετὰ οὖν
he-left the habit monastic and became layman after then
χρόνον πολὺν ἀπῆλθεν ἐν Θεουπόλει· καὶ ὡς ἀνήρχετο ἀπὸ
time much he-went-off to Theopolis and as he-went-up from
Σελευκείας, εἶδε τὸ μοναστήριον τοῦ ἐν ἁγίοις ἀββᾶ
Seleucia he-saw the monastery of-the among saints abba
Συμεὼν τοῦ Στυλίτου, ἀπὸ μακρόθεν, καὶ λέγει ἐν ἑαυτῷ,
Symeon the Stylite from afar and says in himself
Ἀνέλθω, καὶ ἴδω τὸν μέγαν Συμεώνην· οὐ γὰρ ἦν
let-me-go-up and see the great Symeon not for he-was
αὐτὸν θεασάμενος πώποτε. Ἀνῆλθεν οὖν, καὶ τῷ κίονι
him having-beheld ever he-went-up then and to-the pillar
πλησιάσας, ὡς εἶδεν αὐτὸν ὁ ἀββᾶς Συμεὼν, ἐπιγνοὺς
having-drawn-near as saw him — abba Symeon having-recognized
ὅτι μοναχὸς ἦν, καὶ ὅτι χειροτονίαν διακόνου ἔχει,
that monk he-was and that ordination of-deacon he-has
φωνεῖ τὸν ὑπηρετοῦντα αὐτῷ, λέγων· Φέρε τὸ ψαλίδιον
calls the(-one) serving him saying bring the shears

ὧδε, καὶ ἐνέγκαντι λέγει αὐτῷ· Εὐλογητὸς Κύριος,
here and to-(him)-having-brought says to-him blessed (be-the)-Lord
κούρευσον ἐκεῖνον, δείξας αὐτὸν αὐτῷ ἰδίῳ δακτύλῳ.
tonsure that(-one) having-pointed-out him to-him with-own finger
Ἦσαν γὰρ πολλοὶ περὶ τὸν κίονα. Ὁ δὲ θαυμάσας ἐπὶ
were for many about the pillar he and having-marveled at
τῷ λόγῳ, ἅμα δὲ καὶ φόβῳ μεγάλῳ ληφθεὶς,
the word at-the-same-time and also with-fear great having-been-seized
κατεδέξατο μηδὲν ὅλως φθεγξάμενος, ἐννοήσας ὅτι ὁ
accepted(-it) nothing at-all having-uttered having-considered that —
Θεὸς ἀπεκάλυψε τῷ ἁγίῳ γέροντι τὰ κατ' αὐτόν.
God revealed to-the holy old-man the(-things) about him
Λέγει αὐτῷ ὁ ἀββᾶς Συμεὼν, Ποίησον εὐχὴν διακόνου·
says to-him — abba Symeon make prayer of-deacon
καὶ εὐξαμένου, λέγει αὐτῷ ὁ ἅγιος· Ὕπαγε εἰς Ῥαϊθοῦ,
and (him)-having-prayed says to-him the saint go to Raithou
ὅθεν ἐξῆλθες· κἀκείνου λέγοντος αἰσχύνεσθαι, καὶ μὴ
whence you-came-out and-that(-one) saying to-be-ashamed and not
δύνασθαι φέρειν τὴν ἀπὸ τῶν ἀνθρώπων ἐντροπήν· πάλιν
to-be-able to-bear the from the men shame again
λέγει αὐτῷ· Πίστευέ μοι, τέκνον, ἐπὶ τούτῳ, οὐκ ὀφείλεις
he-says to-him believe me child at this not you-ought
ἐντραπῆναι. Ἱλαρῷ γὰρ προσώπῳ οἱ Πατέρες ὑποδέξονταί
to-be-ashamed with-cheerful for face the Fathers will-receive
σε, καὶ χαρὰ αὐτοῖς γενήσεται, καὶ ἀγαλλίασις ἐπὶ τῇ σῇ
you and joy to-them will-be and exultation at the your
ἐπιστροφῇ. Γίνωσκε δὲ καὶ τοῦτο, ὅτι ὁ Θεὸς σημεῖον
return know and also this that — God sign
ἔχει ποιῆσαι ἐν σοὶ, ἵνα γνῷς, ὅτι συνεχώρησέ σοι
is-able to-make in you so-that you-may-know that has-forgiven you
ἡ αὐτοῦ εὐσπλαγχνία τὴν ἁμαρτίαν ταύτην. Καὶ δὴ
the his compassion the sin this and indeed

ἐλθόντος αὐτοῦ εἰς Ῥαϊθοῦ ἐδέξαντο αὐτὸν οἱ Πατέρες
having-come him to Raithou received him the Fathers
ὑπτίαις χερσὶν, καὶ ἔβαλον αὐτὸν καὶ εἰς τὸ ἱερατεῖον.
with-upturned hands and put him also into the sanctuary
Καὶ ἐν μιᾷ Κυριακῇ ὡς ἐβάσταζε τὸ ἅγιον καὶ ζωοποιὸν
and on one Lord's-day as he-carried the holy and life-giving
αἷμα τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ
blood of-the great God and Savior of-us Jesus
Χριστοῦ, αἰφνίδιον ἐξῆλθεν ὁ ὀφθαλμὸς αὐτοῦ. Καὶ ἐκ τοῦ
Christ suddenly came-out the eye of-him and from the
σημείου τούτου ἔγνωσαν, ὅτι συνεχώρησεν αὐτῷ ὁ Θεὸς
sign this they-knew that forgave him — God
τὴν ἁμαρτίαν, κατὰ τὸν λόγον τοῦ δικαίου Συμεών.
the sin according-to the word of-the righteous Symeon
Ἔλεγεν ἡμῖν ὁ ἀββᾶς Εὐσέβιος ὁ πρεσβύτερος τῆς 119
said to-us — abba Eusebius the presbyter of-the
λαύρας Ῥαϊθοῦ παραβαλοῦσιν αὐτῷ, ὅτι δαίμων ἀπῆλθεν
laura of-Raithou visiting him that demon went-off
εἰς κελλίον γέροντος ἐν σχήματι μοναχοῦ. Καὶ κρούσαντος
to cell of-old-man in form of-monk and having-knocked
αὐτοῦ τὴν θύραν, ἤνοιξεν αὐτῷ ὁ γέρων, καὶ λέγει αὐτῷ·
him the door opened to-him the old-man and says to-him
Εὖξαι. Ὁ δὲ δαίμων λέγει· Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
pray the and demon says now and always and to the
αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ δὲ γέρων ἐκ τρίτου λέγει
ages of-the ages Amen the and old-man for third(-time) says
αὐτῷ, Εὖξαι. Ὁ δὲ δαίμων λέγει· Νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς
to-him pray the and demon says now and always and to the
αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ δὲ γέρων λέγει αὐτῷ· Καλῶς
ages of-the ages Amen the and old-man says to-him well
ἦλθες, εὖξαι, καὶ εἰπέ· Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ τῷ
you-came pray and say glory to-Father and to-Son and to-the

ἁγίῳ Πνεύματι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
holy Spirit always now and always and to the ages
τῶν αἰώνων. Ἀμήν. Καὶ τοῦτο εἰπόντος τοῦ γέροντος,
of-the ages Amen and this having-said the old-man
ὁ δαίμων ὡς ὑπὸ πυρὸς διωχθεὶς ἀφανὴς ἐγένετο.
the demon as by fire having-been-driven invisible became
120 Διηγήσαντο ἡμῖν Φαρονῖται ἁλιεῖς, λέγοντες· Ἐν μιᾷ
related to-us Pharanite fishermen saying on one(-day)
ἀπήλθομεν εἰς τὸ Βουχρὶ πέραν τῆς Ἐρυθρᾶς θαλάσσης· καὶ
we-went-off to the Buchri beyond the Red Sea and
ἁλιεύσαντες πλείστους ἰχθύας, ἀνήλθομεν, καὶ ὡρμίσαμεν
having-fished very-many fish we-went-up and anchored
ἐγγὺς Πτελέου. Καὶ θελήσαντες διαπεράσαι εἰς τὴν Ῥαϊθοῦ,
near Pteleum and having-wished to-cross to — Raithou
ἐκωλύθημεν διὰ τῶν ἐναντίων ἀνέμων, καὶ κατεσχέθημεν
we-were-prevented by the contrary winds and we-were-held
διὰ χειμῶνος τῆς θαλάσσης ἡμέραις ἐννενήκοντα· καὶ
by storm of-the sea days ninety and
διερχόμενοι τὴν μεγίστην ἔρημον ἐκείνην, ηὕρομεν ὑπὸ
going-through the greatest desert that we-found under
μιᾶς πέτρας τρεῖς ἀναχωρητὰς τεθνηκότας ***
one rock three anchorites dead (lacuna)

Zosimus the Cilician buries an old man who foretold his bishopric of Babylon, and two anchorites raise his disciple from a snake's bite. A lion takes a blessing and leaves the road; Orentius wears his sheepskin inside out to shame the Sinai. George of Sinai is seen at Easter communion in Jerusalem and he and the patriarch die, as foretold, in six months. A widow's two lepta buy honey-sweet lupines, Chrysostom, unseen, stands by the throne, a stylite will not admit one of two inseparable visitors, and Zacchaeus foretells the end of a plague at Caesarea.

Παρέβαλον τῷ ἀββᾷ Ζωσίμῳ τῷ Κίλικι εἰς τὸ Σινὰ, 123
I-visited — to-abba Zosimus the Cilician at the Sinai
ὡς ἐκαθήμην ἐν τῷ Σινά. Ἦν γὰρ παραιτησάμενος
when I-was-sitting in the Sinai he-had for resigned
τὴν ἐπισκοπὴν ὁ γέρων· καὶ πάλιν ἦλθεν εἰς τὸ κελλίον
the bishopric the old-man and again came to the cell
αὐτοῦ· μεγάλην γὰρ ἄσκησιν ἐκτήσατο. Καὶ διηγήσατό
of-him great for discipline he-acquired and he-related
μοι, λέγων, ὅτι Ὡς ἤμην νεώτερος, ἐξῆλθον ἐκ τοῦ Σινὰ
to-me saying that when I-was younger I-went-out from the Sinai
ὄρους, καὶ ἀπῆλθον εἰς τὴν Ἀμμωνιακὴν, ἵνα μείνω
mountain and went-off to the Ammoniake so-that I-might-stay
ἐκεῖσε εἰς κελλίον. Καὶ εὗρον αὐτόθι γέροντα φοροῦντα
there in cell and I-found there old-man wearing
ἀπὸ σιβίνου κολόβιον. Καὶ ὡς εἶδέν με ὁ γέρων, πρὶν
of goat's-hair sleeveless-tunic and when saw me the old-man before
ἀσπάσασθαι αὐτὸν, λέγει μοι· Τί ὧδε παρεγένου, Ζώσιμε;
to-greet him he-says to-me why here have-you-come Zosimus
Ὕπαγε σὺ τῶν ἔνθεν. Οὐ γὰρ δύνασαι καθίσαι ὧδε.
go-away you from-the(-places) here not for you-can sit here
Ἐνόμισα οὖν ἐγὼ ὅτι ἐγνώριζέν με, καὶ βάλλω αὐτῷ
I-supposed then I that he-knew me and I-make to-him

μετάνοιαν, λέγων, Ποίησον ἀγάπην, καλόγηρε, πόθεν με
penitence saying do (an)-act-of-love monk whence me
οἶδας; Ὁ δὲ λέγει μοι· Πρὸ δύο ἡμερῶν, ἐφάνη μοί
do-you-know he and says to-me before two days appeared to-me
τις λέγων, ὅτι Ἰδοὺ ἔρχεται ἐγγύς σου μοναχὸς ὀνόματι
someone saying that behold comes near you monk by-name
Ζώσιμος. Μὴ ἐάσῃς αὐτὸν μεῖναι ὧδε· θέλω γὰρ αὐτῷ τὴν
Zosimus not allow him to-stay here I-wish for to-him the
Ἐκκλησίαν Βαβυλῶνος τὴν κατ' Αἴγυπτον πιστεῦσαι.
Church of-Babylon the(-one) in Egypt to-entrust
Καὶ σιωπήσας καὶ ἀφήσας με, ἀπῆλθεν ἀπ' ἐμοῦ ὡσεὶ
and having-fallen-silent and having-left me he-went-off from me about
λίθου βολήν. Καὶ ποιήσας ὡσεὶ δύο ὥρας εὐχόμενος, ἦλθεν
stone's throw and having-spent about two hours praying he-came
πρός με, καὶ καταφιλήσας τὸ μέτωπόν μου, λέγει μοι·
to me and having-kissed the forehead of-me says to-me
Φύσει, τέκνον, καλῶς ἦλθες. Ὁ Θεὸς γὰρ ἤγαγέν σε ὧδε,
truly child well you-came — God for brought you here
ἵνα τὸ σῶμά μου θάψῃς. Λέγω οὖν αὐτῷ· Πόσους
so-that the body of-me you-may-bury I-say then to-him how-many
χρόνους ἔχεις ὧδε, ἀββᾶ; Ὁ δὲ λέγει μοι, Τεσσαράκοντα
years have-you here abba he and says to-me forty
πέντε ἔτη πληρῶ· καὶ ἐφάνη μοι τὸ πρόσωπον αὐτοῦ
five years I-fulfill and appeared to-me the face of-him
ὡς πῦρ. Καὶ λέγει μοι· Εἰρήνη σοι, τέκνον, καὶ εὔχου
as fire and says to-me peace to-you child and pray
ὑπὲρ ἐμοῦ, καὶ ταῦτα εἰπὼν ἔθηκεν ἑαυτὸν, καὶ
for me and these(-things) having-said he-laid-down himself and
ἀνεπαύσατο ὁ δοῦλος τοῦ Θεοῦ. Ἐγὼ δὲ ὀρύξας ἔθαψα
went-to-rest the servant — of-God I and having-dug buried
αὐτὸν, καὶ μετὰ δύο ἡμέρας ἀνεχώρησα δοξάζων τὸν Θεόν,
him and after two days withdrew glorifying — God

Διηγήσατο δὲ ἡμῖν ὁ γέρων καὶ τοῦτο, λέγων, ὅτι Πρὸ 124
related and to-us the old-man also this saying that before
ἔτη εἰκοσιδύο ἀνῆλθον εἰς τὸν Πορφυρίτην, θέλων καθίσαι
years twenty-two I-went-up to the Porphyrites wishing to-sit
ἐκεῖ· ἔλαβον δὲ καὶ τὸν μαθητήν μου Ἰωάννην μετ' ἐμοῦ.
there I-took and also the disciple of-me John with me
Ὡς οὖν ἀπήλθομεν, εὑρίσκομεν ἐκεῖ δύο ἀναχωρητὰς, καὶ
when then we-went-off we-find there two anchorites and
ἐμείναμεν πλησίον αὐτῶν. Ἦν δὲ εἷς μὲν Μελιτινὸς,
we-stayed near them was and one indeed a-Melitenian
ὀνόματι Θεόδωρος· ὁ δὲ ἄλλος, Παῦλος, ἐκ τῆς τῶν
by-name Theodore the and other Paul from the of-the
Γαλατῶν χώρας. Καὶ ὁ μὲν Θεόδωρος ἦν ἀπὸ τῆς μονῆς
Galatians country and — indeed Theodore was from the monastery
τοῦ ἀββᾶ Εὐθυμίου. Ἐφόρουν δὲ κολόβια ἐκ δερμάτων
— of-abba Euthymius they-wore and sleeveless-tunics of skins
βουβάλων. Ἔμεινα δὲ ἐκεῖ ὡς εἰς δύο χρόνους· ἀπείχομεν
of-buffaloes I-stayed and there about for two years we-were-distant
δὲ ἀπ' ἀλλήλων ὡς ἀπὸ δύο σταδίων. Ἐν μιᾷ οὖν ὡς
and from one-another about by two stades on one(-day) then as
ἔτι κάθηται Ἰωάννης ὁ μαθητής μου, κρούει αὐτὸν ὄφις, καὶ
still sits John the disciple of-me strikes him snake and
εὐθὺς τέθνηκεν, αἱμορῥοήσας δι' ὅλων τῶν μορίων αὐτοῦ.
at-once he-died having-bled through all the members of-him
Ἐν θλίψει οὖν ὑπάρχων, ἀπῆλθον πρὸς τοὺς ἀναχωρητάς.
in affliction then being I-went-off to the anchorites
Καὶ ὡς εἶδόν με τεταραγμένον καὶ τεθλιμμένον, πρὸ τοῦ
and when they-saw me troubled and afflicted before —
εἴπω τιποτοῦν, λέγουσίν μοι· Τί ἔνι, ἀββᾶ Ζώσιμε; ἀπέθανεν
I-say anything they-say to-me what is(-it) abba Zosimus died
ὁ ἀδελφός; Λέγω αὐτοῖς· Ναί. Ἐλθόντες οὖν μετ' ἐμὲ, καὶ
the brother I-say to-them yes having-come then with me and

ἰδόντες ἐῤῥιμμένον εἰς τὴν γῆν, λέγουσίν μοι· Μὴ λυποῦ,
having-seen(-him) thrown-down on the ground they-say to-me not grieve
ἀββᾶ Ζώσιμε, βοηθεῖ ὁ Θεός. Καὶ φωνήσαντες τὸν ἀδελφὸν,
abba Zosimus helps — God and having-called the brother
λέγουσιν· Ἀδελφὲ Ἰωάννη, ἐγείρου, ὁ γέρων δέεταί σου.
they-say brother John rise the old-man asks you
Καὶ εὐθὺς ὁ ἀδελφὸς ἠγέρθη ἐκ τῆς γῆς. Ζητήσαντες δὲ
and at-once the brother rose from the ground having-sought and
τὸ θηρίον, καὶ κρατήσαντες αὐτὸ, ἔμπροσθεν ἡμῶν εἰς δύο
the beast and having-seized it before us in two
ἔκοψαν αὐτό. Τότε λέγουσίν μοι· Ἀββᾶ Ζώσιμε, πορεύου εἰς
they-cut it then they-say to-me abba Zosimus go to
τὸ Σινά. Ὁ Θεὸς γὰρ πιστεῦσαί σοι θέλει τὴν Ἐκκλησίαν
the Sinai — God for to-entrust to-you wishes the Church
Βαβυλῶνος. Εὐθὺς οὖν ἡμεῖς ἀνεχωρήσαμεν. Καὶ ἐλθόντων
of-Babylon at-once then we withdrew and having-come
ἡμῶν εἰς τὸ Σινὰ, μετ' ὀλίγας ἡμέρας ὁ ἀββᾶς τοῦ
us to the Sinai after few days the abba of-the
Σινὰ ἔπεμψεν ἐμὲ καὶ ἄλλους δύο εἰς Ἀλεξάνδρειαν. Καὶ
Sinai sent me and others two to Alexandria and
κρατήσας ἡμᾶς ὁ ἀββᾶς Ἀλεξανδρείας, ὁ μακαριώτατος
having-held us the abba of-Alexandria the most-blessed
Ἀπολινάριος, ἐποίησεν τοὺς τρεῖς ἐπισκόπους· τὸν μὲν εἰς
Apolinarius made the three bishops the indeed for
Ἡλιούπολιν, τὸν δὲ εἰς Λεοντόπολιν, κἀμὲ εἰς Βαβυλῶνα.
Heliopolis the and for Leontopolis and-me for Babylon
125 Διηγήσαντο ἡμῖν τινες τῶν Πατέρων τοῦ Σινὰ, περὶ τοῦ
related to-us some of-the Fathers of-the Sinai about —
ἀββᾶ Σεργίου τοῦ ἀναχωρητοῦ, λέγοντες. ὅτι Ὡς ἔμεινεν
abba Sergius the anchorite saying that when he-stayed
ἐν τῷ Σινὰ, ἔβαλεν αὐτὸν ὁ οἰκονόμος εἰς τὰ βορδόνια.
in the Sinai put him the steward to the mules

Ὡς οὖν ἤρχετο ἐν μιᾷ, ἰδοὺ λέων ἐν τῇ ὁδῷ ἀνέκειτο.
when then he-was-coming on one(-day) behold lion on the road lay
Ὡς δὲ ἴδον τὰ βορδόνια, καὶ οἱ βορδονάριοι, τὸν λέοντα,
when and saw the mules and the muleteers the lion
φόβῳ συσχεθέντες ἀφεστάθησαν. Τότε ὁ ἀββᾶς Σέργιος
by-fear seized they-stood-off then — abba Sergius
λαβὼν ἐκ τοῦ μαργονίου αὐτοῦ μίαν εὐλογίαν, ἀπῆλθεν
having-taken from the bag of-him one blessing went-off
πρὸς τὸν λέοντα, καὶ λέγει αὐτῷ, Λάβε τὴν εὐλογίαν τῶν
to the lion and says to-it take the blessing of-the
Πατέρων, καὶ ἄπελθε ἐκ τῆς ὁδοῦ, ἵνα παρέλθωμεν.
Fathers and go-away from the road so-that we-may-pass-by
Καὶ λαβὼν ὁ λέων τὴν εὐλογίαν, ἀνεχώρησεν.
and having-taken the lion the blessing withdrew
Ἔλεγον ἡμῖν οἱ τοῦ αὐτοῦ ἁγίου τόπου Πατέρες περὶ 126
told us the of-the same holy place Fathers about
τοῦ ἀββᾶ Ὀρέντου, ὅτι ἐν μιᾷ Κυριακῇ εἰσῆλθεν εἰς τὴν
— abba Orentius that on one Lord's-day he-entered into the
ἐκκλησίαν στρέψας τὸ καμάσιον αὐτοῦ, καὶ ἔξω φορέσας
church having-turned the sheepskin of-him and outside having-worn
τὰ τούτου μαλλία. Ἱσταμένου οὖν αὐτοῦ εἰς τὸν χορὸν, εἶπον
the of-it fleece standing then him in the choir said
αὐτῷ οἱ τὸν τόπον οἰκοῦντες· Καλόγηρε, διὰ τί οὕτως
to-him the(-ones) the place inhabiting monk for what thus
εἰσῆλθες, καὶ ἐξαγωγὴν ἡμᾶς ποιεῖς ἔμπροσθεν τῶν ξένων;
did-you-enter and scandal for-us make before the strangers
Ὁ δὲ γέρων εἶπεν αὐτοῖς· Ὑμεῖς ἐστρέψατε τὸ Σινὰ, καὶ
the and old-man said to-them you turned the Sinai and
οὐδεὶς ὑμῖν εἶπεν τίποτε· κἀγὼ ἵνα στρέψω τὸ καμάσιόν
no-one to-you said anything and-I because I-turned the sheepskin
μου, ἐγκαλεῖτέ με; Ὑπάγετε· κἀγὼ διορθοῦμαι ὃ ἔστρεψα.
of-me you-accuse me go-away and-I correct what I-turned

127 Διηγήσατο ἡμῖν ἡ ἀμμὰ Δαμιανὴ, ἡσυχάστρια, ἡ μήτηρ
related to-us — amma Damiane recluse the mother
τοῦ ἀββᾶ Ἀθηνογένους τοῦ ἐπισκόπου Πετρῶν, λέγουσα,
— of-abba Athenogenes the bishop of-Petra saying
ὅτι Ἦν τις ἡγούμενος ἐν τῷ ἁγίῳ ὄρει Σινὰ,
that there-was a-certain abbot on the holy mount Sinai
ὀνόματι Γεώργιος, μέγας πάνυ καὶ ἀσκητής. Τούτῳ τῷ
by-name George great very and ascetic to-this —
ἀββᾶ Γεωργίῳ ἐν μεγάλῳ Σαββάτῳ ἦλθεν ἐπιθυμία,
to-abba George on great Saturday came desire
καθιζομένου αὐτοῦ ἐν τῷ κελλίῳ αὐτοῦ, ὅτι ἤθελον, φησὶν,
sitting him in the cell of-him that I-wished he-says
ποιῆσαι τὴν ἁγίαν ἀνάστασιν ἐν τῇ ἁγίᾳ πόλει, καὶ
to-keep the holy resurrection in the holy city and
μεταλαβεῖν τῶν ἁγίων μυστηρίων ἐν τῇ ἁγίᾳ Χριστοῦ
to-partake of-the holy mysteries in the holy of-Christ
τοῦ Θεοῦ ἡμῶν Ἀναστάσει. Διὰ πάσης οὖν τῆς ἡμέρας
the God of-us Resurrection through all then the day
ἔμεινεν ὁ γέρων ἀδολεσχῶν ἐν τοῖς λογισμοῖς τούτοις,
remained the old-man pondering in the thoughts these
καὶ εὐχόμενος· ὡς οὖν γέγονεν ἑσπέρα ἦλθεν ὁ μαθητὴς
and praying when then became evening came the disciple
αὐτοῦ, λέγων αὐτῷ· Κέλευσον, Πάτερ, εἰς τὸν κανόνα.
of-him saying to-him bid Father to the rule
Ὁ δὲ γέρων ἀπεκρίθη αὐτῷ· Ὕπαγε· καὶ εἰς τὸν καιρὸν
the and old-man answered him go and at the time
τῆς ἁγίας μεταλήψεως δεῦρο, καὶ ἔρχομαι· Ἔμεινεν
of-the holy partaking come and I-come remained
λοιπὸν ὁ γέρων ἐν τῷ κελλίῳ. Ὅταν οὖν ἔφθασεν
then the old-man in the cell when then arrived
καιρὸς τῆς ἁγίας κοινωνίας ἐν τῇ ἁγίᾳ Ἀναστάσει,
time of-the holy communion in the holy Resurrection

εὑρέθη ὁ γέρων πλησίον τοῦ ἐπισκόπου Πέτρου τοῦ
was-found the old-man near the bishop Peter the
μακαρίου, καὶ παρέχει αὐτῷ τὴν ἁγίαν κοινωνίαν μετὰ
blessed and gives to-him the holy communion with
τῶν πρεσβυτέρων. Ἰδὼν οὖν αὐτὸν ὁ πατριάρχης
the presbyters having-seen then him the patriarch
λέγει Μηνᾷ τῷ συγκέλλῳ αὐτοῦ· Πότε παραγέγονεν ὁ
says to-Menas the syncellus of-him when did-arrive the
ἀββᾶς τοῦ Σινά; Ἀπεκρίθη ὁ σύγκελλος· Μετὰ εὐχὰς
abba of-the Sinai answered the syncellus by prayers
ἡμῶν, δέσποτα, οὐχ ἑώρακα αὐτὸν, δέσποτα, εἰ μὴ νῦν
of-us master not I-have-seen him master if not now
καὶ μόνον. Τότε ὁ πατριάρχης λέγει τῷ συγκέλλῳ·
and only then the patriarch says to-the syncellus
Εἰπὲ αὐτῷ, Μὴ ἀναχωρήσῃς. Θέλω γὰρ, ἵνα μετ' ἐμοῦ
tell him not depart I-wish for that with me
μεταλάβῃς τροφῆς· Ὁ δὲ σύγκελλος ἀπελθὼν εἶπεν τῷ
you-partake of-food the and syncellus having-gone-off told to-the
γέροντι. ὁ δὲ εἶπεν· Τὸ θέλημα τοῦ Θεοῦ γενηθήτω. Ὡς
old-man he and said the will — of-God be-done when
οὖν ἀπέλυσεν ὁ γέρων τὰς συνάξεις καὶ προσεκύνησεν
then dismissed the old-man the synaxes and venerated
γέρων τὸ ἅγιον μνῆμα, εὑρέθη γέρων ἐν τῷ κελλίῳ αὐτοῦ.
old-man the holy tomb was-found old-man in the cell of-him
Καὶ ἰδοὺ ὁ μαθητὴς αὐτοῦ κρούων, καὶ λέγει, Πάτερ,
and behold the disciple of-him knocking and says Father
κέλευσον, ἵνα μεταλάβῃς. Ὁ δὲ γέρων ἀπελθὼν εἰς τὴν
bid that you-may-partake the and old-man having-gone-off to the
ἐκκλησίαν μετὰ τοῦ μαθητοῦ αὐτοῦ μετέλαβεν τῶν ἁγίων
church with the disciple of-him partook of-the holy
μυστηρίων. Ὁ δὲ ἀρχιεπίσκοπος Πέτρος λυπηθεὶς, ὅτι
mysteries the and archbishop Peter grieved that

ἑαυτοῦ παρήκουσεν, μετὰ τὴν ἑορτὴν πέμπει πρὸς τὸν
him he-disobeyed after the feast sends to the
γέροντα γράμματα, καὶ πρὸς τὸν ἐπίσκοπον Φαρὰν τὸν
old-man letters and to the bishop of-Pharan —
ἀββᾶ Φώτιον, καὶ πρὸς τοὺς Πατέρας τοῦ Σινὰ, ἵνα τὸν
abba Photius and to the Fathers of-the Sinai that the
ἀββᾶν φέρωσιν πρὸς ἑαυτόν. Ὡς οὖν ἀπῆλθεν ὁ
abba they-should-bring to himself when then went-off the(-one)
τὰ γράμματα ἐπιφερόμενος, καὶ δέδωκεν τὰς ἐπιστολὰς,
the letters carrying and delivered the epistles
ἀπέστειλεν τρεῖς πρεσβυτέρους, τὸν ἀββᾶν Στέφανον τὸν
he-sent three presbyters — abba Stephen the
Καππαδόκην, τὸν μέγαν· καὶ τὸν ἀββᾶν Ζώσιμον (καὶ
Cappadocian the great and — abba Zosimus and
αὐτοῦ δὲ μνήμην πεποιήμεθα), καὶ τὸν ἀββᾶν Δουλκήτιον,
of-him too mention we-have-made and — abba Dulcitius
τὸν Ῥωμαῖον, πρὸς τὸν πατριάρχην; καὶ ἀπελογήσατο
the Roman to the patriarch and excused-himself
γράψας ὁ γέρων, καὶ λέγων· Μὴ γένοιτό μοι, δέσποτά
having-written the old-man and saying not be-it for-me master
μου ἁγιώτατε, ὅτι κατεφρόνησα τοῦ ἁγίου ἀγγέλου ὑμῶν.
of-me most-holy that I-despised the holy angel of-you
Ἔγραφεν καὶ τοῦτο, Ἵνα γνῷ ἡ ὑμετέρα μακαριότης,
he-wrote also this that may-know the your blessedness
ὅτι μετὰ ἓξ μῆνας, ὁμοῦ ἔχομεν τῷ Δεσπότῃ Χριστῷ
that after six months together we-have to-the Master Christ
τῷ Θεῷ ἡμῶν ἀπαντῆσαι, κἀκεῖ ὑμᾶς προσκυνῆσαι.
the God of-us to-meet and-there you to-venerate
Ἐξελθόντες οἱ πρεσβύτεροι διδόασιν τὰ γράμματα τῷ
having-gone-out the presbyters give the letters to-the
πατριάρχῃ. Ἔλεγον οὖν, ὅτι Πολλὰ ἔτη ἔχει μὴ ἐξελθὼν
patriarch they-said then that many years he-has not having-gone-out

εἰς Παλαιστίνην γέρων. Ἐπεδείκνυον δὲ καὶ τὰ γράμματα
to Palestine old-man they-showed and also the letters
τοῦ Φαρὰν μαρτυροῦντα τούτοις, ὅτι περὶ τὰ ο ἔτη ἔχει
of-the Pharan testifying to-these(-things) that about the 70 years has
ὁ γέρων μὴ ἐξελθεῖν τοῦ ἁγίου ὄρους Σινά· ὁ δὲ θεῖος
the old-man not to-go-out of-the holy mount Sinai the and divine
καὶ πρᾶος Πέτρος μάρτυρας τοὺς εὑρεθέντας ἐπισκόπους,
and meek Peter witnesses the found bishops
καὶ τὸν κλῆρον, λέγοντας, ὅτι Ἡμεῖς ἑωράκαμεν τὸν
and the clergy saying that we have-seen the
γέροντα, καὶ πάντες τῷ φιλήματι τῷ ἁγίῳ ἠσπασάμεθα.
old-man and all with-the kiss the holy greeted(-him)
Μετὰ οὖν τὸ πληρωθῆναι ἓξ μῆνας, ἀνέπαυον ὁ γέρων
after then the to-be-fulfilled six months went-to-rest the old-man
καὶ ὁ πατριάρχης, κατὰ τὴν πρόῤῥησιν τοῦ γέροντος.
and the patriarch according-to the prediction of-the old-man
Διηγήσατο δὲ ἡμῖν ἡ αὐτὴ ἀμμὰ Δαμιανὴ καὶ τοῦτο,
related and to-us the same amma Damiane also this
λέγων, ὅτι Κατὰ παρασκευὴν, πρὸ τοῦ ἐγκλεισθῶ, ἀπίην
saying that on Friday before — I-was-shut-in I-used-to-go
εἰς τὸν ἅγιον Κοσμᾶν καὶ Δαμιανὸν, κἀκεῖ πᾶσαν τὴν
to the holy Cosmas and Damian and-there all the
νύκτα ἐποίουν. Ἤρχετο οὖν τῇ ἑσπέρᾳ μία γραῖα
night I-spent came then in-the evening one old-woman
Φρυγογαλάτισσα, καὶ παρεῖχεν πᾶσιν τοῖς οὖσιν εἰς τὸν
Phrygo-Galatian and gave to-all the(-ones) being in the
ναὸν ἀπὸ δύο λεπτῶν. Ἤδειν οὖν αὐτήν· ἐπειδὴ πολλάκις
temple from two lepta I-knew then her since often
μοι ἔδωκεν. Ἐν μιᾷ οὖν ἀνεψιὰ ἐμὴ καὶ τοῦ πιστοτάτου
to-me she-gave on one(-day) then kinswoman my and of-the most-faithful
βασιλέως Μαυρικίου, ἐλθοῦσα εὐχῆς χάριν ἐν τῇ ἁγίᾳ
emperor Maurice having-come of-prayer for-the-sake in the holy

πόλει, ἐποίησεν χρόνον. Ἔλαβον οὖν αὐτὴν, καὶ ἀπῆλθον εἰς
city spent time I-took then her and went-off to
τὸν ἅγιον Κοσμᾶν καὶ Δαμιανόν. Ὡς οὖν ἐν τῷ εὐκτηρίῳ
the holy Cosmas and Damian when then in the oratory
ἤμεθα, λέγω τῇ συγγενεῖ μου· Βλέπε, κυρία, ὅτι ἔρχεται
we-were I-say to-the relative of-me see lady that comes
μία γραὺς διδοῦσα ἀπὸ δύο νουμίων· λάβε αὐτὰ, μὴ
one old-woman giving from two nummi take them not
ὑπερηφανίσῃς. Ἡ δὲ ἐδυσχέραινεν λέγουσα· Ἐντολὴν ἔχω
disdain(-them) she and was-displeased saying order have-I
λαβεῖν; Τότε εἶπον αὐτῇ· Ναὶ λάβε, ὅτι ἡ γυνὴ κατὰ
to-take then I-said to-her yes take because the woman according-to
Θεὸν μεγάλη ἐστίν· ὅλην γὰρ τὴν ἑβδομάδα ῥογεύει αὐτὰ
God great is whole for the week she-distributes them
τοῖς εὑρισκομένοις ἐν τῷ ναῷ· ἔχει δὲ χῆρα περὶ τὰ
to-the(-ones) found in the temple she-has and widow about the
ὀγδοήκοντα ἔτη. Λάβε οὖν αὐτὰ, καὶ δὸς αὐτὰ καὶ σὺ ἄλλῳ·
eighty years take then them and give them also you to-another
μόνον τὴν θυσίαν τῆς γραίας μὴ ἀποστρέψῃς. Ταῦτα
only the offering of-the old-woman not turn-away these(-things)
ἡμῶν λαλούντων, ἰδοὺ ἡ γραῦς ἐρχομένη καὶ διδοῦσα·
us saying behold the old-woman coming and giving
καὶ ἐλθοῦσα ἔδωκεν μετὰ πάσης ἡσυχίας καὶ σιωπῆς.
and having-come she-gave with all quietness and silence
Δέδωκεν δὲ καὶ τῇ ἐμῇ ἀνεψιᾷ, εἰποῦσα· Λάβε ταῦτα, καὶ
she-gave and also to-the my kinswoman having-said take these and
φάγε. Ὡς οὖν ἀπῆλθεν, ἔγνωμεν ὅτι ὁ Θεὸς ἀπεκάλυψεν
eat when then she-went-off we-knew that — God revealed
αὐτῇ ὅτι εἶπον, Λάβε καὶ δὸς αὐτὰ πτωχῷ. Ἔπεμψεν οὖν
to-her that I-said take and give them to-poor-man she-sent then
ἕνα παῖδα αὐτῆς, καὶ ἔλαβεν εἰς τὰ δύο λεπτὰ θερμία,
one servant of-her and he-took for the two lepta lupines

καὶ ἔφαγεν, καὶ διεβεβαιώσατο κατὰ τοῦ Θεοῦ, λέγουσα,
and she-ate and affirmed by — God saying
ὅτι γλυκέα ἦσαν ὡς τὸ μέλι· ὥστε θαυμάσαι αὐτὴν, καὶ
that sweet they-were as the honey so-that to-marvel her and
δοξάσαι τὸν Θεὸν τὸν διδόντα χάριν τοῖς δούλοις αὐτοῦ.
to-glorify — God the giving grace to-the servants of-him
Παρεβάλομεν τῷ ἀββᾷ Ἀθανασίῳ ἐν τῇ λαύρᾳ τοῦ ἐν 128
we-visited — to-abba Athanasius in the laura of-the among
ἁγίοις Πατρὸς ἡμῶν Σάββα, καὶ διηγήσατο ἡμῖν, λέγων, ὅτι
saints Father of-us Sabas and he-related to-us saying that
ἠκηκόει διηγουμένου τοῦ ἀββᾶ Ἀθηνογένους τοῦ ἐπισκόπου
he-had-heard relating — of-abba Athenogenes the bishop
Πετρῶν, τοῦ υἱοῦ τῆς ἀμμᾶς Δαμιανῆς, τὶ τοιοῦτον.
of-Petra the son — of-amma Damiane something such
Ὅτι ἀδελφὸν εἶχεν ἡ μάμμα μου Ἰαννία, ὀνόματι
that brother had the grandmother of-me Iannia by-name
Ἀδέλφιον ἐπίσκοπον Ἀραβήσσου· εἶχεν δὲ καὶ ἀδελφὴν
Adelphius bishop of-Arabissus she-had and also sister
ἡγουμένην τῆς μονῆς τῶν γυναικῶν. Ἐν μιᾷ οὖν
abbess of-the convent of-the women on one(-day) then
ἀπῆλθεν ὁ ἐπίσκοπος εἰς τὸ μοναστήριον, εἰς ἐπίσκεψιν
went-off the bishop to the monastery for visit
τῆς ἀδελφῆς αὐτοῦ. Καὶ ἐν τῷ εἰσιέναι αὐτὸν ἐν τῷ
of-the sister of-him and in the to-enter him in the
μεσαύλῳ τοῦ μοναστηρίου, θεωρεῖ μίαν τῶν ἀδελφῶν ὑπὸ
courtyard of-the monastery he-sees one of-the sisters by
τοῦ δαίμονος ἐνοχλουμένην, καὶ ἐν τῷ ἐδάφει ἐῤῥιμμένην.
the demon troubled and on the ground thrown
Καλέσας οὖν ὁ ἐπίσκοπος τὴν ἀδελφὴν αὐτοῦ, λέγει
having-called then the bishop the sister of-him says
αὐτῇ· Ἀρέσκει σοι πῶς ἡ ἀδελφὴ αὕτη ὑπὸ τοῦ δαίμονος
to-her pleases you how the sister this by the demon

ἀδικεῖται καὶ ἀσχημονεῖ; ἢ ἀγνοεῖς ὅτι κρῖμα βαστάζεις
is-wronged and is-disgraced or are-you-unaware that judgment you-bear
ὅλων τῶν ἀδελφῶν, ὡς ἡγουμένη; Ἡ δὲ λέγει αὐτῷ·
of-all the sisters as abbess she and says to-him
Κἀγὼ τί ἔχω ποιῆσαι πρὸς τὸν δαίμονα; Ὁ δὲ ἐπίσκοπος
and-I what have to-do against the demon the and bishop
πάλιν λέγει αὐτῇ· Καὶ ὧδε τί ποιῇ τοσαῦτα ἔτη; Καὶ
again says to-her and here what do-you-do so-many years and
ποιήσας εὐχὴν ὁ ἐπίσκοπος, ἐκαθάρισεν τὴν ἀδελφήν.
having-made prayer the bishop cleansed the sister
Πάλιν ὁ αὐτὸς Ἀθανάσιος διηγήσατο ἡμῖν περὶ αὐτοῦ τοῦ
again the same Athanasius related to-us about the-same the
ἐπισκόπου Ἀδελφίου, λέγων, ὅτι ἀκηκόει παρὰ τῆς ἀμμᾶς
bishop Adelphius saying that he-had-heard from — amma
Ἰαννίας τῆς τούτου ἀδελφῆς, λεγούσης, ὅτι Ὅταν ὁ
Iannia the of-him sister saying that when the
ἐπίσκοπος Κωνσταντινουπόλεως Ἰωάννης ὁ Χρυσόστομος
bishop of-Constantinople John the Chrysostom
ἐξωρίσθη εἰς Κουκουσὸν, εἰς τὸν οἶκον ἡμῶν ἔμεινεν. Ἐν
was-exiled to Cucusus in the house of-us he-stayed in
τούτῳ οὖν πολλὴν παῤῥησίαν καὶ ἀγάπην εἴχομεν πρὸς
this then much boldness and love we-had toward
τὸν Θεόν. Ἔλεγεν οὖν Ἀδέλφιος ὁ ἐμὸς ἀδελφὸς, ὅτι Ὅταν
— God said then Adelphius the my brother that when
ἐτελεύτησεν ὁ μακάριος Ἰωάννης ἐν τῇ ἐξορίᾳ, λύπην
died the blessed John in the exile grief
εἶχον ἀφόρητον, ὅτι οὗτος ὁ ἀνὴρ, ὁ τῆς οἰκουμένης
I-had unbearable that this the man the of-the world
διδάσκαλος, ὁ τοῖς λόγοις εὐφράνας τὴν Ἐκκλησίαν
teacher the(-one) with-the words having-gladdened the Church
τοῦ Θεοῦ, ἔξω τοῦ θρόνου ἐκοιμήθη. Ἐδεόμην δὲ τοῦ Θεοῦ
— of-God outside the throne fell-asleep I-besought and — God

μετὰ πολλῶν δακρύων, ἵνα δείξῃ μοι αὐτὸν ἐν ποίᾳ
with many tears that he-might-show me him in what
καταστάσει ἐστίν· καὶ εἰ μετὰ τῶν πατριαρχῶν ἐτάγη.
state he-is and if with the patriarchs he-was-ranked
Ἐπὶ πολὺν οὖν χρόνον τοῦτο εὐχόμενος, ἐν μιᾷ γενόμενος
for long then time this praying on one(-day) having-become
ἐν ἐκστάσει καὶ θεωρῶ ἄνδρα πάνυ εὐειδῆ, κρατήσαντά
in ecstasy and I-see man very comely having-taken
με τῆς δεξιᾶς χειρός· ὑπήγαγέν με εἰς τόπον λαμπρὸν καὶ
me by-the right hand he-led me to place bright and
ἔνδοξον, ἐδείκνυέν μοι τοὺς τῆς εὐσεβείας κήρυκας καὶ τῆς
glorious he-showed me the of-the piety heralds and of-the
Ἐκκλησίας διδασκάλους. Ἐγὼ γὰρ, φησὶ, περιεσκόπουν ἰδεῖν
Church teachers I for he-says was-looking-around to-see
ὃν καταθυμίως εἶχον τὸν μέγαν Ἰωάννην τὸν ἀγαπητὸν
whom heartily I-held the great John the beloved
ἐμόν. Ὡς οὖν ἐνέδειξέν μοι πάντας, καὶ ἑνὸς ἑκάστου τὸ
my when then he-showed me all and of-one each the
ἴδιον ὄνομα εἶπεν, καὶ κρατήσας με πάλιν τῆς χειρὸς,
own name told and having-taken me again by-the hand
ἐξέβαλέν με ἔξω. Ἐγὼ δὲ ἐκλελυπημένος ἠκολούθουν αὐτῷ,
he-put me out I and fainting-with-grief followed him
μὴ ἑωρακὼς μετὰ τῶν Πατέρων τὸν ἐν ἁγίοις Ἰωάννην.
not having-seen with the Fathers the among saints John
Ὡς οὖν ἐξηρχόμην, ὁ ἐφεστὼς τῆς θύρας λέγει μοι·
when then I-was-going-out the(-one) standing-over the door says to-me
Οὐδεὶς ἐρχόμενος ὧδε λυπούμενος ἐξέρχεται. Τότε λέγω
no-one coming here grieving goes-out then I-say
αὐτῷ· Αὕτη μοί ἐστιν λύπη, ὅτι τὸν ἐμὸν προσφιλέστατον
to-him this to-me is grief that the my dearest
Ἰωάννην τὸν ἐπίσκοπον Κωνσταντινουπόλεως οὐχ ἑώρακα
John the bishop of-Constantinople not I-have-seen

μετὰ τῶν ἄλλων διδασκάλων. Ὁ δὲ πάλιν λέγει μοι·
with the other teachers he and again says to-me
Ἰωάννην τὸν τῆς μετανοίας λέγεις; Ἄνθρωπος ἐκεῖνον
John the(-one) of-the penitence you-mean man that-one
ἐν σαρκὶ οὐ δύναται αὐτὸν ἰδεῖν· ἐκεῖ γὰρ παρίσταται,
in flesh not can him see there for he-stands
ὅπου ὁ θρόνος ὁ Δεσποτικός.
where the throne the of-the-Master

129 Ὁ αὐτὸς πάλιν ἀββᾶς Ἀθανάσιος διηγήσατο, ὅτι ἀκήκοεν τοῦ
the same again abba Athanasius related that he-had-heard —
ἀββᾶ Ἀθηνογένους τοῦ ἐπισκόπου Πέτρου, λέγοντος, ὅτι Ἐν
of-abba Athenogenes the bishop of-Petra saying that in
τῇ χώρᾳ σου Στυλίτης ἦν, καὶ πάντες οἱ ἐρχόμενοι
the country of-you Stylite there-was and all the(-ones) coming
πρὸς αὐτὸν κάτω ἑστῶτες ἐλάλουν αὐτῷ διὰ τὸ μὴ ἔχειν
to him below standing spoke to-him because-of the not to-have
αὐτὸν κλίμακα. Εἴποτε εἶπεν αὐτῷ ἀδελφὸς, ὅτι Θέλω σοι
him ladder if-ever said to-him brother that I-wish to-you
εἰπεῖν λογισμὸν, ἔλεγεν αὐτῷ καὶ αὐτὸς πραείᾳ τῇ φωνῇ·
to-tell thought he-said to-him also he with-gentle the voice
Ἐλθὲ εἰς τὸ κουβούκλιον, καὶ ἀπῆρχεν εἰς τὸ ἄλλο μέρος
come to the chamber and he-went-off to the other side
τοῦ κίονος. Καὶ οὕτως ἐλάλουν πρὸς ἀλλήλους ἀμφότεροι
of-the pillar and thus they-spoke with one-another both
τοῦ μὲν Στυλίτου ἄνω, καὶ τοῦ ἀδελφοῦ κάτω· καὶ τῶν
— indeed Stylite above and the brother below and of-the
ἄλλων τῶν ἑστώτων ἐκεῖ οὐδεὶς ἤκουεν τῶν λεγομένων.
others the standing there no-one heard the(-things) said
Ἔλεγε, φησὶ, καὶ τοῦτο ὁ ἀββᾶς Ἀθανάσιος περὶ τοῦ αὐτοῦ
he-said he-says also this — abba Athanasius about the same
Στυλίτου, ὅτι Δύο βοσνοὶ ἀγάπην ἔχοντες, πολλὴν πρὸς
Stylite that two grazers love having much toward

ἀλλήλους, παρέβαλον αὐτῷ ἐπὶ πολλὰ ἔτη οἱ δύο ἐν τῷ
one-another visited him for many years the two at the
ἅμα, μηδέποτε χωρὶς ἀλλήλων ἐλθόντες. Ἐν μιᾷ οὖν
same(-time) never apart from-one-another having-come on one then
τῶν ἡμερῶν ἦλθεν ὁ εἷς λάθρα τοῦ ἑταίρου παραβαλεῖν
of-the days came the one secretly from-the comrade to-visit
αὐτῷ· καὶ κρούσαντος τὸν πυλεῶνα ἐπὶ πολλὰς ὥρας,
him and (him)-having-knocked the gate for many hours
οὐκ ἐπέτρεψεν ὁ γέρων ἀνοῖξαι αὐτῷ· ὥστε ἀκηδίας αὐτῷ
not allowed the old-man to-open to-him so-that listlessness to-him
γενομένης ὑποστρέψαι· Ὑποστρέφοντι δὲ ὑπήντησεν αὐτῷ
having-come to-turn-back returning and met him
φίλος αὐτοῦ ἀπερχόμενος καὶ αὐτὸς πρὸς τὸν Στυλίτην·
friend of-him going-off also he to the Stylite
καὶ πάλιν ἀπέστρεψεν αὐτὸν μετ᾽ αὐτοῦ, ἵνα οἱ δύο ἐν τῷ
and again turned him with him so-that the two at the
ἅμα εἰσέλθωσιν πρὸς τὸν γέροντα. Ὡς οὖν ἔκρουσε
same(-time) might-enter to the old-man when then he-knocked-at
τὸν πυλεῶνα, ἐδήλωσεν ὁ γέρων, ἵν᾽ ὁ ὕστερος εἰσέλθῃ
the gate signified the old-man that the latter should-enter
μόνος. Εἰσελθὼν οὖν ὕστερος ἤρξατο παρακαλεῖν τὸν
alone having-entered then the-latter began to-beseech the
γέροντα εἰσελθεῖν καὶ τὸν ἄλλον. Ὁ δὲ γέρων ἔλεγε μὴ
old-man to-enter also the other the and old-man said not
δύνασθαι αὐτὸν δέξασθαι· μείναντι δὲ, καὶ ἐπὶ πολλὰς ὥρας
to-be-able him to-receive having-stayed and also for many hours
παρακαλοῦντι λέγει αὐτῷ ὁ γέρων· Ὁ Θεὸς ἀποστρέφει
beseeching says to-him the old-man — God turns-away
αὐτὸν, τέκνον, καὶ οὐ δύναμαι αὐτὸν δέξασθαι· καὶ
him child and not I-can him receive and
ἀπελθόντων εἰς τὰ οἰκεῖα μετὰ δύο ἡμέρας ἐτελεύτησεν.
(them)-having-gone-off to the own(-homes) after two days he-died

130 Ἔλεγεν ὁ αὐτὸς ἀββᾶς Ἀθανάσιος, ὅτι Οἱ πατέρες ἡμῶν τὴν
said the same abba Athanasius that the fathers of-us the
ἐγκράτειαν καὶ τὴν ἀκτημοσύνην μέχρι θανάτου ἐτήρησαν·
continence and the poverty until death kept
ἡμεῖς δὲ ἐπλατύναμεν τὰς κοιλίας ἡμῶν καὶ βαλάντια.
we and broadened the bellies of-us and purses
Εἶπεν πάλιν ὁ γέρων· Ἐπὶ τῶν Πατέρων ἡμῶν
said again the old-man in-the-time-of the Fathers of-us
περισπουδαῖον ἦν τὸ ἀπερίσπαστον· νυνὶ δὲ πράττει ἐπὶ
zealously-sought was the undistractedness now and does on
ἡμῶν χύτρα καὶ χείρεργον.
us pot and handiwork
Διηγήσατο ἡμῖν καὶ τοῦτο ὁ ἀββᾶς Ἀθανάσιος, ὅτι
related to-us also this — abba Athanasius that
Ἦλθέν μοί ποτὲ λογισμὸς λέγων· Ὅ τι ἄρά ἐστι
came to-me once thought saying what thing then is(-there)
τοῖς ἀγωνιζομένοις καὶ τοῖς μὴ ἀγωνιζομένοις;
for-the(-ones) striving and for-the(-ones) not striving
καὶ ἐγενόμην ὡς ἐν ἐκστάσει, καὶ ἦλθέν τις λέγων μοι·
and I-became as in ecstasy and came someone saying to-me
Ἀκολούθει μοι· καὶ ἀπήγαγέν με ἔν τινι τόπῳ φωτὸς
follow me and he-led-off me into a-certain place with-light
πεπληρωμένῳ, καὶ ἔστησέν με παρὰ μίαν πύλην, ἧς
filled and set me by one gate of-which
τὸ εἶδος οὐκ ἔστι διηγήσασθαι· καὶ ἠκούομεν ὡς ἀπὸ
the form not is(-possible) to-relate and we-heard as from
πλήθους ἔνδοθεν ἀναριθμήτου ὑμνούντων τὸν Θεόν. Καὶ
multitude within innumerable hymning — God and
κρουσάντων ἡμῶν, ἐπήκουσέν τις ἔσωθεν λέγων· Τί
having-knocked us answered someone from-within saying what
θέλετε; Λέγει ὁ ὁδηγῶν με· Εἰσελθεῖν θέλομεν. Ὁ δὲ
do-you-want says the(-one) guiding me to-enter we-wish he and

ἀπεκρίθη λέγων μοι· Οὐκ εἰσέρχεται ὧδέ τις, ἐν ἀμελείᾳ
answered saying to-me not enters here anyone in negligence
ζῶν· ἀλλ᾽ ἐὰν θέλητε εἰσελθεῖν, ἀπέλθατε ἀγωνίσασθαι,
living but if you-wish to-enter go-away to-strive
μηδὲν μέντοι ἐν τῷ κόσμῳ τῷ ματαίῳ λογιζόμενοι.
nothing however in the world the vain reckoning
Διηγήσατο ἡμῖν Προκόπιος ὁ σχολαστικὸς ὁ 131
related to-us Procopius the scholasticus the
Πορφυρεωνίτης, περὶ τοῦ ἀββᾶ Ζαχχαίου, λέγων, ὅτι Οἱ
Porphyreonite about — abba Zacchaeus saying that the
δύο υἱοί μου ἐν Καισαρείᾳ ἀνεγίνωσκον. Γέγονεν οὖν μέγα
two sons of-me in Caesarea were-studying happened then great
θανατικὸν ἐν Καισαρείᾳ, καὶ ἐθλιβόμην διὰ τὰ τέκνα μου,
plague in Caesarea and I-was-afflicted for the children of-me
μὴ ἀποθάνωσιν, καὶ τί ποιῆσαι οὐκ ᾔδειν· Ἔλεγον γὰρ ἐν
lest they-should-die and what to-do not I-knew I-said for in
ἐμαυτῷ· Ἐὰν πέμψω, καὶ λάβω αὐτοὺς, ὀργὴν Θεοῦ φυγεῖν
myself if I-send and take them wrath of-God to-flee
οὐκ ἔνι. Ἀλλ᾽ ἐάσω αὐτοὺς ἐκεῖ; μή πως ἀποθάνωσιν, καὶ
not is-possible but I-will-let them there lest somehow they-die and
μὴ ἴδω αὐτούς. Μὴ γινώσκων οὖν τὸ τί ὄφειλον ποιῆσαι,
not I-see them not knowing then the what I-ought to-do
λέγω· Ὑπάγω πρὸς τὸν ἀββᾶν Ζαχχαῖον, καὶ εἴ τι
I-say I-go to — abba Zacchaeus and if anything
εἴποι μοι, τοῦτο ποιῶ. Ὑπάγω οὖν ἐν τῇ ἁγίᾳ Σιών· ἐκεῖ
he-should-tell me this I-do I-go then to the holy Sion there
γὰρ διαπαντὸς ἐσχόλαζε· καὶ οὐχ εὗρον αὐτόν. Καὶ ἔρχομαι
for continually he-had-leisure and not I-found him and I-come
ἐν τῷ μεσαύλῳ, καὶ λέγω αὐτῷ περὶ τῶν υἱῶν μου. Ὡς
into the courtyard and I-tell him about the sons of-me when
οὖν ἤκουσεν, κατὰ ἀνατολὰς ἐστράφη, καὶ προσεῖχεν εἰς
then he-heard toward east he-turned and fixed(-his-gaze) on

τὸν οὐρανὸν ἐκτεταμένος ὡς ὥρας δύο μηδὲν λαλήσας.
the heaven stretched-out about hours two nothing having-spoken
Τότε στραφεὶς πρός με, λέγει μοι· Θάρσει, μὴ θλιβῇς· τὰ
then having-turned to me says to-me take-heart not be-afflicted the
παιδία σου οὐκ ἀποθνήσκουσιν εἰς τὸ θανατικὸν, ἀλλὰ καὶ
children of-you not die in the plague but also
μετὰ δύο ἡμέρας παύει τὸ θανατικὸν ἀπὸ Καισαρείας ***
after two days ceases the plague from Caesarea (lacuna)

XII · CHAPTERS 133–145

A Saracen who would rob a monk stands fixed two days, and an anchorite who took a Testament as a gift works till he can pay its price. Five nuns who plot to flee are possessed, Sisinnius feeds a hungry Saracen woman instead of sinning with her, and Callinicus knows a visitor's name from the road. Sergius sends a monk to be baptized whom no one knew unbaptized, and washes the feet of a future patriarch. David the robber chief becomes a monk and is struck dumb outside the office; sayings on judging and the soul follow, and the martyr Eleutherius cuts off a wicked cleric.

133 Διηγήσατο Σαρακηνός τις Ἕλλην εἰς τὸ Κλίσμα τοῖς
related Saracen a-certain pagan at — Clysma to-the
πολιτευομένοις, καὶ ἡμῖν λέγων, ὅτι Ἀπῆλθον ἐπὶ τὸ ὄρος
citizens and to-us saying that I-went-off to the mountain
τοῦ ἀββᾶ Ἀντωνίου, ἵνα θηρεύσω. Ὡς οὖν ὑπήγαγον,
— of-abba Antony so-that I-might-hunt when then I-went
θεωρῶ εἰς ὄρος μοναχὸν καθήμενον, καὶ κρατοῦντα
I-see on mountain monk sitting and holding
βιβλίον, καὶ ἀναγινώσκοντα. Ἀνῆλθον οὖν πρὸς αὐτὸν, σίναι
book and reading I-went-up then to him to-rob
αὐτὸν, τάχα δὲ καὶ φονεῦσαι. Καὶ ὡς ἦλθον πλησίον αὐτοῦ,
him perhaps and also to-kill and when I-came near him

ἐξέτεινε τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν πρός με, εἰπὼν,
he-stretched-out the hand of-him the right to me having-said
Στῆθι· καὶ ἐποίησα δύο νυχθήμερα, μὴ δυνηθεὶς ὅπου
stand and I-spent two nights-and-days not having-been-able anywhere
κινηθῆναι ἀπὸ τοῦ τόπου. Τότε λέγω αὐτῷ· Τὸν Θεὸν, ὃν
to-move from the place then I-say to-him — by-God whom
σέβεις, ἀπόλυσόν με. Ὁ δὲ λέγει μοι· Πορεύου εἰς εἰρήνην.
you-worship release me he and says to-me go in peace
Καὶ οὕτως ἠδυνήθην ἀναχωρῆσαι ἀπὸ τοῦ τόπου, οὗ ἦν.
and thus I-was-able to-withdraw from the place where I-was
Ἀναχωρητὴς ἦν εἰς τὰ μέρη τοῦ ἁγίου Ἰορδάνου ὀνόματι 134
anchorite there-was in the parts of-the holy Jordan by-name
Θεόδωρος. Οὗτος ἦλθεν εἰς τὸ κελλίον μου, λέγων· Ποίησον
Theodore this(-man) came to the cell of-me saying do
ἀγάπην, ἀββᾶ Ἰωάννη, καὶ βλέπε μοι βιβλίον ἔχον ὅλην
(an)-act-of-love abba John and look for-me book having whole
τὴν Νέαν Διαθήκην. Ζητήσας οὖν μανθάνω, ὅτι ὁ ἀββᾶς
the New Testament having-sought then I-learn that — abba
Πέτρος ὁ γεγονὼς ὕστερον ἐπίσκοπος Χαλκηδόνος,
Peter the(-one) having-become later bishop of-Chalcedon
ἔχει. Ἀπῆλθον οὖν, καὶ εἶπον αὐτῷ, καὶ ἔδειξέν μοι
has(-one) I-went-off then and told him and he-showed me(-it)
ἐν σώματι πολὺ καλῷ. Λέγω αὐτῷ· Πόσου ἐστίν; Λέγει
in volume very fine I-say to-him of-how-much is(-it) says
μοι καὶ αὐτὸς, Νομισμάτων γ. Πάλιν λέγει μοι· Σὺ
to-me also he of-solidi 3 again says to-me you
αὐτὸς θέλεις ἀγοράσαι, ἢ ἄλλος; Λέγω αὐτῷ· Πίστευσόν
yourself wish to-buy or another I-say to-him believe
μοι, Πάτερ, ἀναχωρητὴς αὐτὸ θέλει. Τότε λέγει μοι ὁ
me Father anchorite it wants then says to-me —
ἀββᾶς Πέτρος· Ἐὰν ὁ ἀναχωρητὴς αὐτὸ θέλῃ, λάβε αὐτῷ
abba Peter if the anchorite it wants take for-him

δωρεάν. Ἰδοὺ καὶ τρία νομίσματα, καὶ εἰ μὲν ἀρέσκῃ αὐτῷ
free behold also three solidi and if indeed pleases him
τὸ βιβλίον, κρατήσῃ αὐτό· εἰ δὲ οὐκ ἀρέσκει αὐτῷ, ἰδοὺ τὰ
the book let-him-keep it if and not pleases him behold the
τρία νομίσματα, ἀγόρασον αὐτῷ οἷον θέλει. Λαβὼν οὖν
three solidi buy for-him such-as he-wants having-taken then
ἐγὼ ἀνήνεγκα τῷ ἀναχωρητῇ. Ὁ δὲ ἔλαβεν τὸ βιβλίον,
I brought(-it) to-the anchorite he and took the book
καὶ ἀπῆλθεν εἰς τὴν ἔρημον. Ἐποίησεν οὖν δύο μῆνας, καὶ
and went-off into the desert he-spent then two months and
ἀνελθὼν ἀναχωρητὴς ἦλθεν εἰς τὸ κελλίον μου, λέγων·
having-come-up anchorite came to the cell of-me saying
Οἶδας, ἀββᾶ Ἰωάννη, ὅτι ὁ λογισμός μου θλίβει με, ὅτι
do-you-know abba John that the thought of-me afflicts me that
δωρεὰν ἔχω τὸ βιβλίον; Λέγω αὐτῷ· Μὴ θλίβου, ὁ ἀββᾶς
free I-have the book I-say to-him not be-afflicted — abba
Πέτρος πλούσιός ἐστιν, καὶ καλὸς, καὶ χαίρει ἐπὶ τούτου.
Peter rich is and good and rejoices over this
Λέγει μοι πάλιν ὁ ἀναχωρητής· Οὐχ ἀναπαύομαι εἰ μὴ
says to-me again the anchorite not I-have-rest if not
δὼ τὴν τιμήν. Καὶ λέγω αὐτῷ· Καὶ ἔχεις, ἵνα δῷς
I-give the price and I-say to-him and have-you so-that you-may-give
τὴν τιμήν; Λέγει μοι, Οὔπως. Ἀλλὰ δός μοι σακκομάχην,
the price says to-me not-yet but give me sackcloth-coat
ἵνα φορέσω. Ἦν γὰρ γυμνός. Ἔδωκα οὖν αὐτῷ τὸ
that I-may-wear(-it) he-was for naked I-gave then to-him the
σακκομάχιον καὶ κατανόχιον παλαιὸν, καὶ ἀπῆλθεν, καὶ
sackcloth-coat and cowl old and he-went-off and
ἔκαμνεν ἐργασίας εἰς τὸν λάκκον, ὃν ἐποίει ὁ πατριάρχης
labored at-labors at the cistern which was-making the patriarch
Ἱεροσολύμων εἰς τὸ Σινὰ, ᾧ ὄνομα Ἰωάννης. Καὶ ὡς
of-Jerusalem at the Sinai to-whom name John and as

ἐλάμβανεν ἡμερούσιον φόλεις πέντε, ἤρχετο οὖν ἐγγύς μου
he-received daily folles five he-came then near me
εἰς τὴν λαύραν τῶν Αἰλιωτῶν· ἔτρωγεν δὲ ἡμέριον δέκα
to the laura of-the Aeliotes he-ate and daily ten
μόνα θέρμα, καὶ ἔκαμνεν πᾶσαν τὴν ἡμέραν. Ποιήσας
only lupines and labored all the day having-made
οὖν ἐκ τοῦ μισθοῦ αὐτοῦ φόλεων νομίσματα γ, λέγει
then from the wage of-him of-folles solidi 3 says
μοι· Λάβε τὸ κέρμα, δὸς αὐτῷ· εἰ δὲ μὴ θέλοι,
to-me take the money give(-it) to-him if and not he-should-want
ἐπίδος αὐτῷ τὸ βιβλίον. Ἐγὼ οὖν ἀπελθὼν εἶπον τῷ
hand-over to-him the book I then having-gone-off told —
ἀββᾷ Πέτρῳ ταῦτα. Ὁ δὲ οὐκ ἤθελεν δέξασθαι, οὔτε τὸ
to-abba Peter these(-things) he and not wished to-receive neither the
κέρμα, οὔτε τὸ βιβλίον· ὅμως ἐποίησα αὐτὸν λαβεῖν τὸ
money nor the book nevertheless I-made him to-take the
κέρμα, καὶ μὴ ἀποστρέψαι τὸν κόπον τοῦ ἀναχωρητοῦ·
money and not to-turn-away the labor of-the anchorite
ὁ δὲ ἔλαβεν. Καὶ ἀπελθὼν ἐγὼ δέδωκα τὸ βιβλίον τῷ
he and took(-it) and having-gone-off I gave the book to-the
ἀναχωρητῇ, καὶ μετὰ χαρᾶς ἀπῆλθεν εἰς τὴν ἔρημον.
anchorite and with joy he-went-off into the desert
Παρεβάλομεν εἰς τὴν μονὴν τῶν Εὐνούχων εἰς τὸν 135
we-visited at the monastery of-the Eunuchs at the
ἅγιον Ἰορδάνην, ἐγώ τε καὶ ἀδελφὸς Σωφρόνιος, καὶ
holy Jordan I both and brother Sophronius and
διηγήσατο ἡμῖν ὁ ἀββᾶς Νικόλαος, ὁ πρεσβύτερος
related to-us — abba Nicholas the presbyter
τοῦ αὐτοῦ μοναστηρίου, λέγων, ὅτι Ἐν τῇ χώρᾳ
of-the same monastery saying that in the country
μου (ἦν δὲ Λύκιος) μοναστήριόν ἐστι παρθένων ὡς
of-me he-was and Lycian monastery there-is of-virgins about

ὀνομάτων τεσσαράκοντα. Ἐν τούτῳ οὖν τῷ μοναστηρίῳ
of-names forty in this then the monastery
ἐβουλεύσαντο πέντε παρθένοι φυγεῖν νυκτὸς ἐκ τοῦ
plotted five virgins to-flee by-night from the
μοναστηρίου, καὶ λαβεῖν ἑαυταῖς ἄνδρας. Ἐν μιᾷ οὖν
monastery and to-take for-themselves husbands on one then
νυκτὶ, πασῶν τῶν μοναστριῶν καθευδουσῶν, βουλομένων
night all the nuns sleeping wishing
αὐτῶν λαβεῖν τὰ ἱμάτια αὐτῶν καὶ φυγεῖν, παραχρῆμα
them to-take the garments of-them and to-flee immediately
αἱ πέντε ἐδαιμονίσθησαν. Καὶ τούτου γενομένου οὐκ
the five were-possessed and this having-happened no
ἔτι ἐξῆλθον ἐκ τοῦ μοναστηρίου, ἀλλ' ηὐχαρίστουν τῷ
longer they-went-out from the monastery but gave-thanks —
Θεῷ, καὶ ἐξωμολογοῦντο τὰς ἁμαρτίας αὐτῶν, λέγουσαι·
to-God and confessed the sins of-them saying
Εὐχαριστοῦμεν τῷ μεγαλοδώρῳ Θεῷ τῷ ἐπάγοντι ἡμῖν
we-give-thanks to-the munificent God the(-one) bringing on-us
τὴν παιδείαν ταύτην, ἵνα μὴ αἱ ψυχαὶ ἡμῶν ἀπόλωνται.
the chastisement this so-that not the souls of-us may-perish
136 Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Ἰωάννης ὁ πρεσβύτερος τῆς
related to-us — abba John the presbyter of-the
μονῆς τῶν εὐνούχων, ὅτι ἀκήκοε παρὰ τοῦ ἀββᾶ
monastery of-the eunuchs that he-had-heard from — abba
Σισιννίου τοῦ ἀναχωρητοῦ διηγουμένου, καὶ λέγοντος, ὅτι
Sisinnius the anchorite relating and saying that
Ἐν μιᾷ ἦν εἰς τὸ σπήλαιόν μου, πλησίον τοῦ ἁγίου
on one(-day) I-was in the cave of-me near the holy
Ἰορδάνου· καὶ ὡς ἔψαλλον τὴν Τρίτην, ἰδοὺ Σαρακήνισσα
Jordan and as I-was-chanting the Third(-hour) behold Saracen-woman
ἐλθοῦσα, καὶ εἰσελθοῦσα εἰς τὸ σπήλαιόν μου. Ἔθηκεν οὖν
having-come and having-entered into the cave of-me she-placed then

ἑαυτὴν ἔμπροσθέν μου γυμνώσασα ἑαυτήν. Ἐγὼ δὲ οὐκ
herself before me having-stripped herself I and not
ἐταράχθην, ἀλλὰ ποιήσας τὸν κανόνα μου μετὰ πάσης
was-troubled but having-done the rule of-me with all
ἡσυχίας καὶ φόβου Θεοῦ, καὶ πληρώσας, λέγω αὐτῇ
stillness and fear of-God and having-finished(-it) I-say to-her
Ἑβραϊστί· Ἀνακάθισον, ἵνα λαλήσω σοι, καὶ τότε εἴ τι
in-Hebrew sit-up so-that I-may-speak to-you and then if anything
θέλεις ποιῶ. Ἡ δὲ ἀνεκάθισεν. Τότε λέγω αὐτῇ· Χριστιανὴ
you-want I-do she and sat-up then I-say to-her Christian
ὑπάρχεις ἢ Ἕλλην; Ἡ δὲ εἶπεν· Χριστιανή. Λέγω αὐτῇ
are-you or pagan she and said Christian I-say to-her
πάλιν· Καὶ οὐκ οἶδας ὅτι οἱ πορνεύοντες ὑπάγουσιν;
again and not do-you-know that the(-ones) fornicating go-away
Ἡ δὲ εἶπέν μοι· Ναὶ, οἶδα. Τότε λέγω αὐτῇ· Καὶ διὰ
she and said to-me yes I-know then I-say to-her and for
τί θέλεις πορνεῦσαι; Ἡ δὲ ἀπεκρίθη μοὶ λέγουσα· Ὅτι
what do-you-wish to-fornicate she and answered me saying that
πεινῶ. Τότε λέγω αὐτῇ κἀγώ· Μὴ πορνεύσῃς, καὶ ἔρχου
I-am-hungry then I-say to-her I-too not fornicate and come
καθ᾽ ἡμέραν· καὶ ἐξ ὧν ὁ Θεὸς οἰκονομεῖ παρεῖχον αὐτῇ
each day and from what-things — God provides I-supplied to-her
τὴν τροφήν· ἕως οὗ ἀνεχώρησα ἐκ τῶν τόπων ἐκείνων.
the food until — I-withdrew from the places those
Εἶπεν πάλιν ὁ αὐτὸς ἀββᾶς Ἰωάννης, ὅτι Ὅτε ἤμην 137
said again the same abba John that when I-was
νεώτερος, ἐπόθουν ἀπέρχεσθαι πρὸς τοὺς μεγάλους καὶ
younger I-longed to-go-off to the great and
ὀνομαστοὺς γέροντας, ὥστε εὐλογεῖσθαι καὶ ὠφελεῖσθαι
renowned old-men so-as to-be-blessed and to-be-benefited
παρ᾽ αὐτῶν. Ἤκουσα οὖν περὶ τοῦ ἀββᾶ Καλλινίκου
by them I-heard then about — abba Callinicus

τοῦ μεγάλου, τοῦ εἰς τὴν μονὴν τοῦ ἀββᾶ Σάββα,
the great the(-one) at the monastery — of-abba Sabas
τοῦ ἐγκλείστου· καὶ παρεκάλεσά τινα τῶν συνήθων αὐτοῦ
the recluse and I-besought one of-the intimates of-him
ἀπενεγκεῖν με πρὸς αὐτόν. Ἀπῆλθον οὖν πρὸς αὐτόν. Καὶ
to-take me to him I-went-off then to him and
παρακαθίσας ὁ ἐνέγκας με ἀδελφὸς τῇ θυρίδι, ἐλάλει
having-sat-down-beside the having-brought me brother at-the window spoke
σὺν αὐτῷ διὰ πολλὴν ὥραν. Ἐγὼ δὲ ἐν ἐμαυτῷ διέλαβον,
with him for long hour I and in myself considered
ὅτι οὐδέποτέ με ἑώρακεν ὁ γέρων, καὶ οὐκ ἔχει
that never me has-seen the old-man and not he-has(-means)
γνησίως με δέξασθαι. Ὑποχωρήσας οὖν ὁ ἀδελφὸς ἐκεῖνος,
sincerely me to-receive having-withdrawn then the brother that
ἐπέτρεψέν με εἰσελθεῖν καὶ ἀσπάσασθαι τὸν γέροντα καὶ
allowed me to-enter and to-greet the old-man and
εὐλογηθῆναι παρ᾽ αὐτοῦ, εἰπὼν αὐτῷ· Εὖξαι καὶ ὑπὲρ τοῦ
to-be-blessed by him having-said to-him pray also for the
δούλου σου τούτου, Πάτερ, ὅτι ἐν πρώτοις ἦλθεν ἐνταῦθα.
servant of-you this Father because for the-first-time he-came here
Ὁ δὲ γέρων εἶπεν· Φύσει, τέκνον, γνωρίζω αὐτόν. Πρὸ
the and old-man said truly child I-know him before
γὰρ εἴκοσι ἡμερῶν κατῆλθον εἰς τὸν ἅγιον Ἰορδάνην, καὶ
for twenty days I-went-down to the holy Jordan and
ὑπήντησέν μοι, εἰς τὴν ὁδὸν, καὶ εἶπέν μοι· Εὖξαι ὑπὲρ ἐμοῦ·
met me on the road and said to-me pray for me
κἀγὼ ἐρώτησα αὐτὸν, Τί τὸ ὄνομά σου; καὶ εἶπέν μοι
and-I asked him what the name of-you and he-said to-me
Ἰωάννης· καὶ ἀπὸ τότε γινώσκω αὐτόν. Τοῦτο οὖν ἀκούσας
John and from then I-know him this then having-heard

ἐγὼ, ἔγνων ὅτι ὅτε ἐνεθυμήθην ἀπελθεῖν πρὸς αὐτὸν,
I knew that when I-purposed to-go-off to him
ἀπεκάλυψεν αὐτῷ ὁ Θεὸς καὶ τὸ ὄνομά μου, καὶ τὸ τίς εἰμι.
revealed to-him — God both the name of-me and the who I-am
Διηγήσατο δὲ καὶ τοῦτο ἡμῖν ὁ γέρων, ὅτι Ὅτε ἦν ὁ ἀββᾶς 138
related and also this to-us the old-man that when was — abba
Σέργιος ἀναχωρητὴς εἰς τὸν Ῥουβᾶν, μετὰ τὸ ἀναχωρῆσαι
Sergius anchorite at — Rouba after the to-withdraw
αὐτὸν ἐκ τοῦ Σινὰ, ἔπεμψεν ἐνταῦθα εἰς τὸ μοναστήριόν
him from the Sinai he-sent here to the monastery
τινα μοναχὸν νεώτερον ἐπὶ τὸ βαπτισθῆναι. Ἡμῶν δὲ
a-certain monk younger for the to-be-baptized of-us and
τὴν αἰτίαν, διατί βαπτίζεται, ἐπερωτώντων, ἔλεγεν ἡμῖν ὁ
the cause why he-is-baptized asking said to-us the
διακονητὴς αὐτοῦ τοῦ ἀββᾶ Σεργίου ὁ ἀββᾶς Σέργιος, ὅτε
attendant of-him — of-abba Sergius — abba Sergius when
Οὗτος ἦλθεν, θέλων μεῖναι μεθ' ἡμῶν ἐν τῇ ἐρήμῳ, ἐγὼ δὲ
this(-one) came wishing to-stay with us in the desert I and
ὡς διακονητὴς ἐδεξάμην αὐτὸν, πολλὰ νουθετήσας αὐτὸν, μὴ
as attendant received him much having-admonished him not
ἀδοκιμάστως ἑαυτὸν εἰς τοιαύτην διαγωγήν. Ὡς δὲ ἔγνων
untested (to-give)-himself to such way-of-life when and I-knew
τὴν ἔνστασιν αὐτοῦ, τῇ ἐξῆς λαβὼν αὐτὸν ἀπῆλθον
the insistence of-him on-the next(-day) having-taken him I-went-off
πρὸς τὸν γέροντα. Ὁ δὲ γέρων εὐθὺς ἰδὼν αὐτὸν, πρὸ τοῦ
to the old-man the and old-man at-once having-seen him before the
μέ τι λαλῆσαι, λέγει μοι κατιδίαν· Τί θέλει ὁ ἀδελφὸς
me anything to-speak says to-me in-private what wants the brother
οὗτος; Ἐγὼ δὲ εἶπα· Παρακαλεῖ εἶναι μεθ' ἡμῶν. Τότε
this I and said he-begs to-be with us then
λέγει μοι ὁ γέρων· Πίστευε, ἀδελφὲ, οὗτος οὐκ ἐβαπτίσθη.
says to-me the old-man believe brother this(-one) not was-baptized

Ἀλλ᾽ ἀπένεγκε αὐτὸν εἰς τὴν μονὴν τῶν Εὐνούχων, καὶ
but take him to the monastery of-the Eunuchs and
ποιοῦσιν αὐτὸν βαπτισθῆναι ἐν τῷ ἁγίῳ Ἰορδάνῃ. Ἐγὼ δὲ
they-make him to-be-baptized in the holy Jordan I and
πρὸς τὸν λόγον ἐκπλαγεὶς, ἠρώτων τὸν ἀδελφὸν, τίς εἴη
at the word amazed asked the brother who he-was
καὶ πόθεν εἴη. Ὁ δὲ ἔλεγεν ἑαυτὸν ἐκ τῆς Δύσεως εἶναι,
and whence he-was he and said himself from the West to-be
καὶ τοὺς γονεῖς αὐτοῦ Ἕλληνας ὑπάρχειν, καὶ μὴ εἰδέναι
and the parents of-him pagans to-be and not to-know
δὲ εἰ ἐβαπτίσθη, ἢ οὔ. Τότε οὖν κατηχήσαντες αὐτὸν,
and if he-was-baptized or not then then having-catechized him
ἐποιήσαμεν αὐτὸν βαπτισθῆναι εἰς τὸν ἅγιον Ἰορδάνην·
we-made him to-be-baptized in the holy Jordan
καὶ ἔμεινεν εἰς τὸ μοναστήριον, εὐχαριστῶν τῷ Θεῷ.
and he-stayed in the monastery giving-thanks — to-God

139 Περὶ τούτου τοῦ ἀββᾶ Σεργίου τοῦ ἀναχωρητοῦ, διηγήσατο
about this — of-abba Sergius the anchorite related
ἡμῖν ὁ ἀββᾶς Σέργιος ὁ Ἀρμένης, ὁ αὐτοῦ μαθητὴς, ὅτι
to-us — abba Sergius the Armenian the of-him disciple that
Πολλὰ ἠνόχλει ὁ ἀββᾶς Γρηγόριος, ὃς ἦν ἡγούμενος τῆς
much troubled(-me) — abba Gregory who was abbot of-the
λαύρας Φαρῶν, ἵνα λάβω αὐτὸν πρὸς τὸν γέροντα. Ἐν
laura of-Pharan that I-should-take him to the old-man on
μιᾷ οὖν κατήγαγον αὐτὸν πρὸς τὸν γέροντα· ἦν δὲ ὁ
one(-day) then I-brought-down him to the old-man was and the
γέρων τότε περὶ τὰ μέρη τῆς Νεκρᾶς θαλάσσης. Ὡς οὖν
old-man then about the parts of-the Dead Sea when then
ἐθεώρησεν αὐτὸν ὁ γέρων, ἠσπάσατο αὐτὸν πάνυ ἀσμένως,
saw him the old-man he-greeted him very gladly
καὶ ἐνέγκας ὕδωρ, ἔνιψεν αὐτοῦ τοὺς πόδας, καὶ δι᾽
and having-brought water washed of-him the feet and through

ὅλης τῆς ἡμέρας διελάλησεν αὐτῷ περὶ ὠφελείας ψυχῆς·
whole the day conversed with-him about benefit of-soul
τῇ ἄλλῃ ἡμέρᾳ ἀπέλυσεν αὐτόν. Ὡς οὖν ἀπῆλθεν ὁ
on-the other day he-dismissed him when then went-off —
ἀββᾶς Γρηγόριος, λέγω τῷ γέροντι· Οἶδας, Πάτερ, ὅτι
abba Gregory I-say to-the old-man do-you-know Father that
ἐσκανδαλίσθην, ὅτι πολλοὺς ἐπισκόπους καὶ πρεσβυτέρους
I-was-scandalized because many bishops and presbyters
καὶ ἄλλους τινὰς ἔφερα πρὸς ὑμᾶς, καὶ οὐδέποτε οὐδενὸς
and others some I-brought to you and never of-none
αὐτῶν ἔνιψας τοὺς πόδας, εἰ μὴ τοῦ ἀββᾶ Γρηγορίου
of-them you-washed the feet if not — of-abba Gregory
καὶ μόνου; Τότε λέγει ὁ γέρων πρός με· Τέκνον, ἐγὼ
and alone then says the old-man to me child I
τίς ἐστιν ὁ ἀββᾶς Γρηγόριος οὐκ οἶδα· τοῦτο μόνον
who is — abba Gregory not I-know this only
οἶδα, ὅτι πατριάρχην ἐδεξάμην εἰς τὸ σπήλαιόν μου. Καὶ
I-know that patriarch I-received in the cave of-me and
γὰρ ὠμοφόριον αὐτὸν εἶδα περιβεβλημένον, καὶ τὸ ἅγιον
for omophorion him I-saw wrapped-in and the holy
Εὐαγγέλιον βαστάζοντα. Ὅπερ καὶ γέγονεν· μετὰ γὰρ ἓξ
Gospel carrying which-very also happened after for six
χρόνους ἠξίωσεν ὁ Θεὸς τὸν ἀββᾶν Γρηγόριον πατριάρχην
years deemed-worthy — God — abba Gregory patriarch
γενέσθαι ἐν Θεουπόλει, καθὼς προεῖδεν ὁ γέρων.
to-become in Theopolis as foresaw the old-man
Ἔλεγόν τινες τῶν γερόντων περὶ τοῦ ἀββᾶ Γρηγορίου 140
said some of-the old-men about — abba Gregory
τοῦ πατριάρχου Θεουπόλεως, ὅτι κατόρθωσεν ταύτας τὰς
the patriarch of-Theopolis that he-achieved these the
ἀρετὰς, ἐλεημοσύνην, ἀμνησικακίαν, δάκρυα. Εἶχεν δὲ καὶ
virtues almsgiving forgiveness tears he-had and also

συμπάθειαν πρὸς τοὺς ἁμαρτάνοντας πολλήν. Ὧν καὶ
compassion toward the(-ones) sinning much of-which also
ἡμεῖς πλείστην πεῖραν ἐσχήκαμεν.
we very-great experience have-had

141 Ἀδελφὸς παρέβαλεν τῷ ἀββᾷ Ὀλυμπίῳ εἰς τὴν λαύραν
brother visited — to-abba Olympius in the laura
τοῦ ἀββᾶ Γερασίμου πλησίον τοῦ ἁγίου Ἰορδάνου, καὶ
— of-abba Gerasimus near the holy Jordan and
λέγει αὐτῷ, Πῶς κάθῃ ὧδε ἔχων τοσοῦτον καύσωνα, καὶ
says to-him how do-you-sit here having such heat and
τοσούτους κνίφας; Ἀπεκρίθη δὲ αὐτῷ ὁ γέρων· Ὑπομένω
so-many gnats answered and him the old-man I-endure
γὰρ τοὺς σκνίφας, ἵνα τὸν σκώληκα τὸν ἀκοίμητον
for the gnats so-that the worm the sleepless
διαφύγω. Ὁμοίως δὲ καὶ τὸν καύσωνα τοῦτον βαστάζω,
I-may-escape likewise and also the heat this I-bear
δεδοικὼς τὸ πῦρ τὸ αἰώνιον· τοῦτο γὰρ πρόσκαιρον,
fearing the fire the eternal this for(-is) temporary
ἐκεῖνο δὲ τέλος οὐκ ἔχει.
that and end not has

142 Ἄλλος ἀδελφὸς παρέβαλεν εἰς τὴν λαύραν τοῦ ἀββᾶ
other brother visited at the laura — of-abba
Γερασίμου, τῷ ἀββᾷ Ἀλεξάνδρῳ τῷ ἡγουμένῳ, καὶ λέγει
Gerasimus — to-abba Alexander the abbot and says
αὐτῷ· Ἀββᾶ, θέλω ἀναχωρῆσαι ἐκ τοῦ τόπου οὗ
to-him abba I-wish to-withdraw from the place where
κάθημαι, ὅτι πάνυ ἀκηδιῶ. Ἀπεκρίθη αὐτῷ ὁ ἀββᾶς
I-sit because very I-am-listless answered him — abba
Ἀλέξανδρος· Φύσει, τέκνον, σημεῖόν ἐστι τοῦτο, ὅτι οὐκ
Alexander truly child sign is this that not

ἔχεις κατὰ νοῦν οὔτε τὴν κόλασιν τὴν αἰώνιον, οὔτε τὴν
you-have in mind neither the punishment the eternal nor the
βασιλείαν τῶν οὐρανῶν, ἐπεὶ οὐκ εἶχες ἀκηδιᾶσαι.
kingdom of-the heavens since not you-would-have to-be-listless
Παρεβάλομεν εἰς Θηβαΐδα, καὶ συνετύχομεν εἰς τὴν 143
we-visited in (the)-Thebaid and met in the
Ἀντινόου πόλιν τῷ σοφιστῇ Φοιδάμωνι, ὠφελείας χάριν,
of-Antinous city the sophist Phoebammon of-benefit for-the-sake
καὶ διηγήσατο ἡμῖν λέγων, ὅτι Λῃστής τις ἦν περὶ
and he-related to-us saying that robber a-certain there-was about
τὰ μέρη τῆς ἐρήμου πόλεως, ὀνόματι Δαβὶδ, πολλοὺς
the parts of-the desert of-city by-name David many
γυμνώσας, πολλοὺς δὲ καὶ φονεύσας, καὶ πάμπολλα κακὰ
having-stripped many and also having-killed and very-many evils
ποιήσας, ἵνα οὕτως εἴπω, ὡς οὐδεὶς ἄλλος. Ἐν μιᾷ
having-done so-that thus I-may-say as no-one else on one(-day)
οὖν ὡς ἔτι ἦν εἰς τὸ ὄρος λῃστεύων, ἔχων μεθ' ἑαυτοῦ
then as still he-was on the mountain robbing having with himself
πλείους τῶν τριάκοντα, ἦλθεν εἰς ἑαυτὸν κατανυγεὶς ἐφ'
more than-the thirty he-came to himself pricked-to-the-heart at
οἷς κακῶς διεπράξατο, καὶ καταλιπὼν ἅπαντας τοὺς
what-things wickedly he-had-done and having-left all the(-ones)
μετ' αὐτοῦ, ἀπῆλθεν εἰς μοναστήριον. Καὶ κρούσαντος
with him went-off to monastery and having-knocked
αὐτοῦ τὸν πυλῶνα τοῦ μοναστηρίου, ἐξῆλθεν ὁ πυλωρὸς,
he at-the gateway of-the monastery came-out the gatekeeper
καὶ λέγει αὐτῷ· Τί θέλεις; Ὁ δὲ ἀρχιλῃστὴς λέγει
and says to-him what do-you-want the and robber-chief says
αὐτῷ· Μοναχὸς θέλω γενέσθαι. Καὶ εἰσελθὼν ὁ θυρωρὸς
to-him monk I-wish to-become and having-gone-in the doorkeeper
ἀπήγγειλεν τῷ ἀββᾷ τὰ περὶ αὐτοῦ. Ἐξελθὼν οὖν
reported to-the abba the(-things) about him having-come-out then

ὁ ἀββᾶς, καὶ θεωρήσας αὐτὸν, ὅτι γέρων ὑπῆρχεν, λέγει
the abba and having-observed him that old-man he-was says
αὐτῷ· Οὐ δύνασαι ὧδε εἶναι, ὅτι πολὺν κόπον ἔχουσιν
to-him not you-can here be because much toil have
οἱ ἀδελφοὶ, καὶ ἡ ἄσκησις αὐτῶν μεγάλη ἐστὶν, καὶ εἶ
the brothers and the discipline of-them great is and you-are
λοιπὸν ἄλλης ἕξεως, καὶ τὸν κανόνα τοῦ μοναστηρίου οὐ
moreover of-another habit and the rule of-the monastery not
δύνασαι ὑπενεγκεῖν. Ὁ δὲ παρεκάλει λέγων, Ναὶ ποιῆσαι
you-can bear he and besought saying yes to-do
ἔχω, μόνον δέξαι με. Ὁ δὲ ἀββᾶς ἐπέμενεν, λέγων, Οὐ
I-have(-it) only receive me the and abba persisted saying not
ποιεῖς. Τότε λέγει αὐτῷ ὁ ἀρχιλῃστής, Ἵνα γινώσκῃς, ὅτι
you-do(-it) then says to-him the robber-chief that you-may-know that
ἐγὼ Δαβὶδ εἰμι ὁ ἀρχιλῃστής, καὶ διὰ τοῦτο ἦλθον ὧδε,
I David am the robber-chief and because-of this I-came here
ἵνα κλαύσω τὰς ἁμαρτίας μου· εἰ δ' οὐ θέλεις δέξασθαί
so-that I-may-weep-for the sins of-me if and not you-wish to-receive
με, ὅρκοις σε πληροφορῶ, καὶ τὸν κατοικοῦντα ἐν τῷ
me by-oaths you I-assure and(-by) the(-one) dwelling in the
οὐρανῷ, ὑπάγω πάλιν εἰς τὴν προτέραν μου τέχνην, καὶ
heaven(-I-swear) I-go again to the former my craft and
φέρω οὓς εἶχον μετ' ἐμαυτοῦ, καὶ πάντας ὑμᾶς φονεύω,
I-bring whom I-had with myself and all you I-kill
καὶ στρέφω καὶ τὸ μοναστήριον ὑμῶν. Ταῦτα ἀκούσας
and I-overturn also the monastery of-you these(-things) having-heard
ὁ ἀββᾶς ἐδέξατο αὐτὸν ἔνδον τοῦ μοναστηρίου, καὶ
the abba received him inside the monastery and
ἀποκείρας αὐτὸν, δέδωκεν αὐτῷ τὸ ἅγιον σχῆμα. Ἤρξατο
having-tonsured him gave to-him the holy habit he-began
οὖν ἀγωνίζεσθαι, καὶ τῇ ἐγκρατείᾳ, καὶ τῇ ὑπακοῇ
then to-strive and in-the continence and in-the obedience

καὶ ταπεινοφροσύνῃ πάντας τοὺς ἐν τῷ μοναστηρίῳ
and humility all the(-ones) in the monastery
ὑπερέβαλεν. Ἦσαν δὲ μοναχοὶ ἐν τῷ μοναστηρίῳ περὶ
surpassed there-were and monks in the monastery about
τὰ ἑβδομήκοντα ὀνόματα. Πάντας οὖν ὠφελῶν, πάντων
the seventy names all then benefiting of-all
ὑπογραμμὸς γέγονεν. Ἐν μιᾷ οὖν καθημένου αὐτοῦ ἐν
model he-became on one(-day) then sitting him in
τῷ κελλίῳ αὐτοῦ, ἐνεπέστη ἄγγελος Κυρίου, λέγων αὐτῷ·
the cell of-him stood-by angel of-(the)-Lord saying to-him
Δαυῒδ, Δαυῒδ, συνεχώρησέν σοι Κύριος Θεὸς τὰς ἁμαρτίας
David David has-forgiven you (the)-Lord God the sins
σου, καὶ ἔσῃ ἀπὸ τοῦ νῦν σημεῖα ποιῶν. Ὃς ἀποκριθεὶς
of-you and you-will-be from — now signs doing who having-answered
εἶπεν τῷ ἀγγέλῳ· Οὐ δύναμαι πιστεῦσαι, ὅτι ἐκεῖνα
said to-the angel not I-can believe that those
ὅλα τὰ ἁμαρτήματά μου τὰ βαρύτερα ψάμμου θαλάσσης
all the sins of-me the heavier-than sand of-sea
συνεχώρησέν μοι ὁ Θεὸς ἐν ὀλίγῳ χρόνῳ. Ὁ δὲ ἄγγελος
has-forgiven me — God in little time the and angel
λέγει αὐτῷ· Εἰ τοῦ ἱερέως Ζαχαρία, ἀπιστήσαντός μοι
says to-him if the priest Zacharias having-disbelieved me
διὰ τὸν υἱὸν, οὐκ ἐφεισάμην, ἀλλ᾽ ἐδέσμευσα αὐτοῦ τὴν
about the son not I-spared but bound of-him the
γλῶσσαν, παιδεύων αὐτὸν μὴ ἀπιστεῖν τοῖς λαληθεῖσιν
tongue teaching him not to-disbelieve the(-things) spoken
ὑπ᾽ ἐμοῦ, σοῦ ἔχω φείσασθαι; Διὸ ἔσῃ μὴ λαλῶν ἀπὸ
by me you I-have to-spare therefore you-will-be not speaking from
τοῦ νῦν τὸ παράπαν. Ὁ δὲ ἀββᾶς Δαυῒδ ἔβαλεν μετάνοιαν,
— now at all — and abba David made penitence
λέγων· Ὅταν ἤμην εἰς τὸν κόσμον τὰ ἀθέμιτα καὶ τὰς
saying when I-was in the world the lawless(-deeds) and the

αἱματοχυσίας ποιῶν, ἐλάλουν, καὶ ὅτε θέλω δουλεῦσαι
bloodsheds doing I-spoke and when I-wish to-serve
τῷ Θεῷ, καὶ ὕμνους αὐτῷ προσφέρειν, τὴν γλῶσσάν μου
— God and hymns to-him to-offer the tongue of-me
δεσμεύεις τοῦ μὴ λαλεῖν; Τότε ὁ ἄγγελος ἀπεκρίθη λέγων·
do-you-bind for-the not to-speak then the angel answered saying
Ἔσῃ εἰς τὸν κανόνα μόνον λαλῶν, ἔξωθεν δὲ τοῦ
you-will-be at the rule only speaking outside and the
κανόνος σιωπῶν τὸ παράπαν. Ὅπερ καὶ γέγονεν. Πολλὰ
rule being-silent at all which-very also happened many
γὰρ σημεῖα δι' αὐτοῦ ὁ Θεὸς ἐποίησεν. Ἔψαλλεν δὲ τοὺς
for signs through him — God did he-chanted and the
ψαλμούς· ἄλλο δὲ ῥῆμα ἢ μέγα ἢ μικρὸν οὐκ ἠδύνατο
psalms other but word either great or small not he-could
λαλῆσαι. Ὁ δὲ διηγησάμενος ἡμῖν ταῦτα ἔλεγεν,
speak the(-one) and having-related to-us these(-things) said
ὅτι Πολλάκις ἐθεασάμην αὐτὸν, καὶ ἐδόξασα τὸν Θεόν.
that often I-beheld him and glorified — God
144 Ἔλεγέ τις τῶν γερόντων τοῖς ἀδελφοῖς εἰς τὰ Κέλλια· Μὴ
said one of-the old-men to-the brothers at the Cells not
αἱρετήσωμεν Αἰγυπτίαις δουλεύειν ἡδοναῖς, αἳ Φαραὼ
let-us-choose Egyptian to-serve pleasures which Pharaoh(-served)
τῷ ὀλεθρίῳ τυράννῳ.
the destructive tyrant
Εἶπεν πάλιν· Εἴθ' ὅσην περὶ τὰ κακὰ σπουδὴν
he-said again would-that as-much-as about the evil(-things) zeal
ἔχουσιν οἱ ἄνθρωποι, τοσαύτην εἶχον περὶ τὰ καλά· καὶ
have the men so-much they-had about the good(-things) and
ὅσον σπεύδουσι περὶ τὰ θέατρα καὶ τὰς ἀσθενεῖς ἑορτὰς,
as-much-as they-hasten about the theaters and the feeble feasts
περὶ φιλοχρηματίαν καὶ κενοδοξίαν καὶ ἀδικίαν, μετέθηκαν
about avarice and vainglory and injustice had-they-transferred

εἰς πόθον εὐσεβείας! Οὐκ ἂν ἠγνοήσαμεν ὅσον
to longing of-piety not — we-would-have-been-ignorant how-much
ὑπὸ Θεοῦ τετιμήμεθα, καὶ κατὰ δαιμόνων ἰσχύομεν.
by God we-have-been-honored and against demons we-have-strength
Εἶπεν πάλιν ὁ γέρων· Θεοῦ μεῖζον οὐδὲν ἄλλο, οὐδὲ
said again the old-man than-God greater nothing other nor
ἴσον, οὐδὲ ὀλίγον ἀπολιμπανόμενον. Τί τοίνυν τοῦ
equal nor little falling-short what therefore than-the(-one)
τὸν Θεὸν ἔχοντος βοηθὸν ἰσχυρώτερον ἢ μακαριώτερον;
— God having helper stronger or more-blessed
Εἶπεν πάλιν· Πανταχοῦ μὲν ὁ Θεὸς ὑπάρχει· ἐγγίζει δὲ
he-said again everywhere indeed — God is draws-near and
τοῖς εὐσεβοῦσιν καὶ ἀγωνιζομένοις, τοῖς οὐ μέχρις
to-the(-ones) godly and striving the(-ones) not as-far-as
ἐπαγγελίας σεμνοῖς, ἀλλὰ δι' ἔργων λαμπροῖς. Ὅπου δὲ
promise solemn but through works shining where and
ὁ Θεὸς, τίς ἐπιβουλεύειν βουλήσεται, ἢ τίς ἰσχύει βλάπτειν;
— God(-is) who to-plot will-wish or who is-strong to-harm
Εἶπεν πάλιν· Ἀνθρώπων ἰσχὺς οὐκ ἐν τῇ φύσει· τρεπτὴ
he-said again of-men strength not in the nature changeable
γὰρ αὕτη· ἀλλ' ἐν τῇ προθέσει, τοῦ Θεοῦ βοηθοῦντος.
for this(-is) but in the purpose — of-God helping
Θεραπεύσωμεν οὖν τὴν ψυχὴν ἡμῶν, τέκνα, ὅσον τὸ σῶμα.
let-us-tend then the soul of-us children as-much-as the body
Εἶπεν πάλιν ὁ γέρων· Συναγάγωμεν τὰ τῆς ψυχῆς
said again the old-man let-us-gather the of-the soul
θεραπεύματα, τοῦτ' ἔστιν εὐσέβειαν, δικαιοσύνην,
remedies that is piety righteousness
ταπεινοφροσύνην, ὑποταγήν. Ὁ γὰρ μέγιστος ἰατρὸς τῶν
humility submission the for greatest physician of-the

ψυχῶν Χριστὸς ὁ Θεὸς ἡμῶν ἐγγύς ἐστι, καὶ θέλει
souls Christ the God of-us near is and wishes
θεραπεῦσαι ἡμᾶς. Μὴ οὖν καταφρονήσωμεν.
to-heal us not then let-us-despise(-him)
Εἶπεν πάλιν· Διδάσκει ἡμᾶς ὁ Κύριος σώφρονας εἶναι·
he-said again teaches us the Lord sober-minded to-be
ἡμεῖς δὲ οἱ ἄθλιοι, διὰ τῆς τρυφῆς μειζόνως τὰς ἡδονὰς
we and the wretched through the luxury the-more the pleasures
περιεργαζόμεθα.
elaborate
Εἶπεν πάλιν ὁ γέρων· Παραστήσωμεν ἑαυτοὺς τῷ Θεῷ, ὡς
said again the old-man let-us-present ourselves — to-God as
Παῦλός φησιν, ὡς ἐκ νεκρῶν ζῶντες· μήτε βλέποντες εἰς
Paul says as from dead living neither looking to
τὰ ὀπίσω, τῶν ἔμπροσθεν ἐπιλανθανώμεθα· ἀλλὰ
the(-things) behind the(-things) before let-us-forget but
κατὰ σκοπὸν διώκωμεν εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως.
according-to mark let-us-press-on to the prize of-the upward calling
Ἠρωτήθη γέρων ὑπό τινος ἀδελφοῦ· Διατί συνεχῶς
was-asked old-man by a-certain brother why continually
κρίνω τοὺς ἀδελφούς; Ἀπεκρίθη ὁ γέρων· Ὅτι οὔπω
I-judge the brothers answered the old-man because not-yet
ἔγνωκας ἑαυτόν. Ὁ γὰρ ἑαυτὸν γινώσκων, τὰ
you-have-known yourself the(-one) for himself knowing the(-things)
τῶν ἀδελφῶν οὐ θεωρεῖ.
of-the brothers not observes
145 Παρεβάλομεν ἐν τῷ ναῷ Ἀλεξανδρείας εἰς τὸ κοινόβιον
we-visited at the temple of-Alexandria at the community
Σαλαμᾶ, καὶ εὕρομεν ἐκεῖ δύο γέροντας. Ἔλεγον δὲ ἡμῖν
of-Salamas and found there two old-men they-said and to-us
τῆς Ἐκκλησίας εἶναι Κωνσταντινουπόλεως.
of-the Church to-be of-Constantinople

Καὶ διηγήσαντο ἡμῖν περὶ τοῦ μακαρίου Γενναδίου
and they-related to-us about the blessed Gennadius
πατριάρχου Κωνσταντινουπόλεως, ὅτι ἐνωχλεῖτο ὑπὸ
patriarch of-Constantinople that he-was-troubled by
πολλῶν διά τινα κληρικὸν πάνυ κακῶς ζῶντα,
many on-account-of a-certain cleric very wickedly living
τοὔνομα Χαρίσιον. Καὶ μεταστειλάμενος αὐτὸν ὁ
by-name Charisius and having-summoned him the
πατριάρχης, ἐπειράθη νουθετεῖν αὐτόν. Ὡς οὖν οὐδὲν
patriarch tried to-admonish him when then nothing
ὠφέλησεν διὰ νουθεσίας, ἐπέτρεψεν, καὶ ἐπαίδευσεν αὐτὸν
it-helped by admonition he-ordered and chastised him
Πατρικῶς καὶ ἐκκλησιαστικῶς. Ἐπεὶ οὖν ἔγνω ὁ
in-fatherly(-way) and in-church(-way) since then knew the
πατριάρχης μηδὲν ὠφελούμενον τὸν κληρικὸν (ἐσχόλαζεν
patriarch nothing being-benefited the cleric he-was-given
γὰρ τοῖς φόνοις καὶ γοητείαις), ἀποστέλλει τινὰ τῶν
for to-the murders and sorceries he-sends one of-the(-ones)
τὰς ἀποκρίσεις διακονούντων (ἦν γὰρ ἀναγνώστης τῶν
the answers serving was for reader of-the(-ones)
ἐκεῖσε ὁ Χαρίσιος), καὶ εἶπεν αὐτῷ· Εἰπὲ τῷ ἁγίῳ
there — Charisius and said to-him tell to-the holy
Ἐλευθερίῳ· Ὁ στρατιώτης σου, ἅγιε Ἐλευθέριε, ἁμαρτάνει
Eleutherius the soldier of-you holy Eleutherius sins
πολλὰ, καὶ ἢ διόρθωσαι αὐτὸν, ἢ ἔκκοψον. Ἦλθεν οὖν ὁ
much and either correct him or cut-off came then the
ἀποκρισιάριος εἰς τὸν εὐκτήριον οἶκον τοῦ ἁγίου μάρτυρος
apocrisiarius to the oratory house of-the holy martyr
Ἐλευθερίου, καὶ σταθεὶς ἔμπροσθεν τοῦ θυσιαστηρίου,
Eleutherius and having-stood before the altar
προσέχων εἰς τὴν κόγχην, ἐκτείνας τὴν χεῖρα αὐτοῦ,
gazing to the apse having-stretched-out the hand of-him

λέγει τῷ μάρτυρι· Δηλοῖ σοι, ἅγιε μάρτυς τοῦ Χριστοῦ,
says to-the martyr declares to-you holy martyr — of-Christ
ὁ πατριάρχης Γεννάδιος, δι᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, Ὁ
the patriarch Gennadius through me the sinner the
στρατιώτης σου πολλὰ ἁμαρτάνει· ἢ διόρθωσαι αὐτὸν,
soldier of-you much sins either correct him
ἢ ἔκκοψον. Καὶ τῇ ἐπαύριον ἐν νεκροῖς εὑρέθη ὁ τῶν
or cut-off and on-the morrow among dead was-found the of-the
κακῶν ἐργάτης· καὶ πάντες ἐκπλαγέντες ἐδόξασαν τὸν Θεόν.
evils worker and all amazed glorified — God

XIII · CHAPTERS 146–153

The martyr Julian moves pope Eulogius to rebuild his church, and Leo of Rome's Tome, laid on Peter's tomb, is found corrected by the apostle's hand. The patriarch Ammos fears the weight of ordinations, Gregory of Rome bows first to a monk, and a brother fasts more for praise in the world than in the desert.

146 Οὖσιν ἡμῖν ἐν τῷ ἐννάτῳ ἐν τῷ κοινοβίῳ Τουγαρᾶ,
being us at the ninth(-milestone) at the community of-Tougaras
διηγήσατο ὁ ἀββᾶς Μηνᾶς ὁ κοινοβιάρχης, περὶ τοῦ
related — abba Menas the head-of-the-community about the
ἐν ἁγίοις πάππα Εὐλογίου, λέγων, ὅτι Ἐν μιᾷ νυκτὶ,
among saints pope Eulogius saying that on one night
ἐν ὅσῳ ποιεῖ τὸν κανόνα κατιδίαν ἐν τῷ εὐκτηρίῳ
in as-long-as he-does the rule in-private in the oratory
τοῦ ἐπισκοπίου, θεωρεῖ πλησίον αὐτοῦ ἑστῶτα Ἰουλιανὸν
of-the bishop's-house he-sees near him standing Julian
τὸν ἀρχιδιάκονον. Ὡς δὲ ἴδεν αὐτὸν, ἐταράχθη, διότι
the archdeacon when and he-saw him he-was-troubled because
ἐτόλμησεν εἰσελθεῖν μὴ μηνύσας. Πλὴν ἐσιώπησεν.
he-dared to-enter not having-announced(-himself) but he-kept-silent

Καὶ πληρώσας τὸν ψαλμὸν, ἔβαλεν μετάνοιαν. Ἔβαλεν
and having-finished the psalm he-made penitence made
δὲ καὶ ὁ ὀφθεὶς αὐτῷ ἐν εἴδει τοῦ ἀρχιδιακόνου.
and also the(-one) having-appeared to-him in form of-the archdeacon
Εἶτα ἀναστάντος τοῦ πάππα, καὶ προσκυνήσαντος, ἐκεῖνος
then having-stood-up the pope and having-done-obeisance that(-one)
ἔμεινεν ἐπὶ τοῦ ἐδάφους. Ἐπιστραφεὶς οὖν ὁ πάππας
remained on the ground having-turned then the pope
λέγει αὐτῷ· Ἕως οὗ οὐκ ἐγείρῃ; Ὁ δὲ λέγει αὐτῷ· Ἐὰν
says to-him until — not do-you-rise he and says to-him unless
μὴ σὺ αὐτὸς ὀρέξῃς τὴν χεῖρα καὶ ἀναστήσῃς με, οὐ
— you yourself stretch-out the hand and raise me not
δύναμαι ἐγείρεσθαι. Τότε ὁ ἀββᾶς ἐκτείνας αὐτοῦ τὴν
I-can rise then the abba having-stretched-out of-him the
χεῖρα, καὶ κρατήσας αὐτὸν ἤγειρεν. Ἤρξατο δὲ πάλιν τοῦ
hand and having-held him raised he-began and again the
ψαλμοῦ· καὶ στραφεὶς οὐκέτι ἔβλεπέ τινα. Μετὰ οὖν τὸ
psalm and having-turned no-longer saw anyone after then the
πληρῶσαι αὐτὸν τὸν κανόνα τὸν ἑωθινὸν, ἐφώνησεν τὸν
to-finish him the rule the morning he-called the
κουβουκλάριον αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Διατί οὐκ ἐμήνυσας
chamberlain of-him and said to-him why not did-you-announce
τὸν ἀρχιδιακόνου εἴσοδον, ἀλλ' οὕτως ἀμηνυτὶ εἰσῆλθεν
the of-archdeacon entrance but thus unannounced he-came-in
πρός με, καὶ τοῦτο ἐν νυκτί; Ὁ δὲ ἔλεγεν μήτε ἑωρακέναι
to me and this at night he and said neither to-have-seen
τινὰ, μήτε δὲ εἰσελθεῖν. Ἀπιστήσας δὲ ὁ πάππας λέγει·
anyone nor and to-have-entered having-disbelieved and the pope says
Κάλεσόν μοι ὧδε τὸν θυρωρόν. Καὶ ἐλθόντι, λέγει
call me here the doorkeeper and to-(him)-having-come he-says
αὐτῷ· Οὐκ ἀνῆλθεν ὁ ἀρχιδιάκονος Ἰουλιανὸς ὧδε; Ὁ δὲ
to-him not came-up the archdeacon Julian here he and

μεθ' ὅρκου διεβεβαιώσατο, ὅτι οὔτε ἀνῆλθεν οὔτε κατῆλθεν.
with oath affirmed that neither he-came-up nor went-down
Καὶ τότε μὲν ἡσύχαζεν ὁ πάππας. Πρωΐας δὲ γενομένης,
and then indeed was-being-still the pope morning and having-come
ἀνῆλθεν ἀρχιδιάκονος Ἰουλιανὸς εἰς προσκύνησιν. Καὶ
came-up archdeacon Julian for obeisance and
λέγει αὐτῷ ὁ πάππας· Διατί οὐκ ἐφύλαξας τὴν τάξιν,
says to-him the pope why not did-you-keep the order
ἀρχιδιάκονε Ἰουλιανὲ, ἀλλ' ἀμηνυτὶ ἀνῆλθες πρός με τῇ
archdeacon Julian but unannounced you-came-up to me in-the
νυκτὶ ταύτῃ; Ὁ δὲ λέγει· Μὰ τὰς εὐχὰς τοῦ δεσπότου
night this he and says by the prayers of-the master
μου, οὔτε ἀνῆλθον ὧδε, οὐδὲ κατῆλθον τοῦ οἴκου μου,
of-me neither I-came-up here nor went-down from-the house of-me
εἰ μὴ τῇ ὥρᾳ ταύτῃ καὶ μόνον. Τότε συνῆκεν ὁ μέγας
if not at-the hour this and only then understood the great
Εὐλόγιος Ἰουλιανὸν ἑωρακέναι τὸν μάρτυρα, προτρεπόμενον
Eulogius Julian to-have-seen the martyr urging
αὐτὸν πρὸς ἔγερσιν τοῦ ἰδίου ναοῦ. Ἦν γὰρ ἐκ τοῦ
him to raising of-the own temple it-was for from the
χρόνου φθαρεὶς καὶ παλαιωθεὶς, καὶ πτῶσιν ἀπειλῶν. Ὁ
time decayed and grown-old and fall threatening the
δὲ φιλόμαρτυς καὶ θεῖος Εὐλόγιος μετὰ πολλῆς προθυμίας
and martyr-loving and divine Eulogius with much eagerness
ἔβαλε τὴν χεῖρα, καὶ ἤγειρεν τὸν τούτου ναὸν, ἀπὸ
put the hand and raised the of-this(-one) temple from
θεμελίων αὐτὸν οἰκοδομήσας, καὶ παντοίῳ κόσμῳ
foundations it having-built and with-every-kind-of adornment
λαμπρύνας, ὡς ἱερῷ ἔπρεπεν μάρτυρι.
having-made-splendid as for-holy was-fitting martyr

Διηγήσατο ἡμῖν καὶ τοῦτο ὁ ἀββᾶς Μηνᾶς, ὁ κοινοβιάρχης 147
related to-us also this — abba Menas the head-of-the-community
τοῦ αὐτοῦ κοινοβίου, ὅτι ἀκηκόει τοῦ αὐτοῦ ἀββᾶ
of-the same community that he-had-heard the same abba
Εὐλογίου πάππα Ἀλεξανδρείας, λέγοντος, ὅτι Ἀνελθὼν
Eulogius pope of-Alexandria saying that having-gone-up
ἐν Κωνσταντινουπόλει τῷ ἀρχιδιακόνῳ Ῥώμης τῷ κυρῷ
to Constantinople to-the archdeacon of-Rome the lord
Γρηγορίῳ ἀνδρὶ *** καὶ ἐναρέτῳ, καὶ διηγήσατό μοι
Gregory man (lacuna) and virtuous and he-related to-me
περὶ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Λέοντος τοῦ πάπα
about the most-holy and most-blessed Leo the pope
Ῥώμης, ὅτι ἐμφέρεται ἐν τῇ Ἐκκλησίᾳ Ῥώμης ἐγγράφως,
of-Rome that it-is-recorded in the Church of-Rome in-writing
ὅτι γράψας τὴν ἐπιστολὴν πρὸς τὸν ἐν ἁγίοις
that having-written the epistle to the among saints
Φλαβιανὸν τὸν πατριάρχην Κωνσταντινουπόλεως, κατὰ
Flavian the patriarch of-Constantinople against
Εὐτυχέως καὶ Νεστορίου τῶν δυσωνύμων, τέθηκεν αὐτὴν
Eutyches and Nestorius the ill-named he-placed it
ἐν τῷ τάφῳ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου, καὶ
in the tomb of-the chief of-the apostles Peter and
δεήσεσι καὶ νηστείαις καὶ χαμευνίαις σχολάσας
in-supplications and fastings and sleeping-on-the-ground having-spent-his-leisure
ἐδέετο τοῦ πρωτοστάτου τῶν μαθητῶν, λέγων· Ὅ τι
besought the front-ranker of-the disciples saying what thing
ὡς ἄνθρωπος παρέλειψα, αὐτὸς ὡς πεπιστευμένος τὴν
as man I-left-out you as having-been-entrusted-with the
Ἐκκλησίαν καὶ τὸν θρόνον παρὰ τοῦ Κυρίου καὶ Θεοῦ
Church and the throne by the Lord and God
καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διόρθωσαι. Καὶ μετὰ
and Savior of-us Jesus Christ correct and after

τεσσαράκοντα ἡμέρας ὤφθη αὐτῷ ὁ ἀπόστολος εὐχομένῳ,
forty days appeared to-him the apostle praying
καὶ λέγει αὐτῷ· Ἀνέγνων καὶ διορθωσάμην. Καὶ δὴ
and says to-him I-read(-it) and corrected(-it) and indeed
λαβὼν τὴν ἐπιστολὴν ἐκ τοῦ τάφου τοῦ ἁγίου Πέτρου,
having-taken the epistle from the tomb of-the holy Peter
ἀνέπτυξεν καὶ εὗρεν χειρὶ τοῦ ἀποστόλου διορθωθεῖσαν.
he-unfolded(-it) and found(-it) by-hand of-the apostle corrected
148 Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς πόλεως Δάρνης
Theodore the most-holy bishop of-the city Darnis
τῆς ἐν Λιβύῃ, διηγήσατο ἡμῖν, λέγων, ὅτι Ὡς ἤμην
the(-one) in Libya related to-us saying that when I-was
σύγκελλος τοῦ ἐν ἁγίοις πάπα Εὐλογίου, θεωρῶ κατὰ
syncellus of-the among saints pope Eulogius I-see in
τοὺς ὕπνους ἄνδρα σεμνοπρεπῆ, καὶ μέγαν, λέγοντά μοι·
the sleep man venerable and great saying to-me
Μήνυσόν με πρὸς τὸν πάπαν Εὐλόγιον. Καὶ λέγω αὐτῷ·
announce me to the pope Eulogius and I-say to-him
Τίς εἶ, δέσποτα; Πῶς κελεύεις ἵνα μηνύσω; Αὐτὸς
who are-you master how do-you-bid that I-announce(-you) he
ἀποκριθεὶς λέγει μοι· Ἐγώ εἰμι Λέων ὁ πάπας Ῥώμης.
having-answered says to-me I am Leo the pope of-Rome
Εἰσελθὼν οὖν ἐγὼ ἐμήνυσα, λέγων· Ὁ ἁγιώτατος καὶ
having-gone-in then I announced(-him) saying the most-holy and
μακαριώτατος πάπας Λέων Ἐκκλησίας Ῥωμαίων πρόεδρος
most-blessed pope Leo of-Church of-Romans president
προσκυνῆσαι ὑμᾶς θέλει. Ὡς οὖν ἤκουσεν ὁ πάπας Εὐλόγιος,
to-greet you wishes when then heard the pope Eulogius
δρομαίως ἀναστὰς ὑπήντησεν αὐτῷ· καὶ ἀσπασάμενοι
running having-risen he-met him and having-greeted
ἀλλήλους καὶ εὐχὴν ποιήσαντες ἐκαθέσθησαν. Τότε ὁ θεῖος
one-another and prayer having-made they-sat-down then the divine

ὄντως καὶ θεοφόρος Λέων λέγει πάπᾳ Εὐλογίῳ· Οἶδας
truly and God-bearing Leo says to-pope Eulogius do-you-know
διατί ἦλθον πρὸς ὑμᾶς; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὔ. Λέγει
why I-came to you he and having-answered said no he-says
αὐτῷ· Ἦλθον εὐχαριστῆσαι ὑμῖν, ὅτι καλῶς καὶ μεγάλως
to-him I-came to-thank you because well and greatly
ἀπελογήσασθε ὑπὲρ τῆς ἐπιστολῆς μου, ἧς ἔγραψα
you-defended on-behalf-of the epistle of-me which I-wrote
πρὸς τὸν ἀδελφὸν ἡμῶν Φλαβιανὸν τὸν πατριάρχην
to the brother of-us Flavian the patriarch
Κωνσταντινουπόλεως· τὴν μὲν ἐμὴν γνώμην φανερώσαντες,
of-Constantinople the indeed my mind having-made-plain
τὰ δὲ τῶν αἱρετικῶν ἀποφράξαντες στόματα. Ἴσθι δὲ,
the and of-the heretics having-stopped mouths know and
ἀδελφὲ, ὡς οὐκ ἐμοὶ μόνον τὸν ἔνθεν ὑμῶν ἐχαρίσασθε
brother that not to-me only the from-here of-you you-gave
κόπον, ἀλλὰ καὶ τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ,
labor but also to-the chief of-the apostles Peter
καὶ πρό γε πάντων αὐτῇ τῇ ὑφ' ἡμῶν κηρυττομένῃ
and before at-least all to-very the by us preached
ἀληθείᾳ, ἥτις ἐστὶν Χριστὸς ὁ Θεὸς ἡμῶν. Ταῦτα οὐχ
truth which is Christ the God of-us these(-things) not
ἅπαξ μόνον, ἀλλὰ καὶ τρὶς θεασάμενος, καὶ τῷ τρισσῷ
once only but also thrice having-beheld and by-the threefoldness
τῆς ὁράσεως πιστευθεὶς, διηγησάμην τῷ ἐν ἁγίοις
of-the vision having-been-convinced I-related to-the among saints
πάπᾳ Εὐλογίῳ. Ὁ δὲ ἀκούσας ἐδάκρυσεν· καὶ ἐκτείνας
pope Eulogius he and having-heard wept and having-stretched-out
τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, ηὐχαρίστησεν τῷ Θεῷ,
the hands of-him to the heaven gave-thanks — to-God
λέγων· Εὐχαριστῶ σοι, Δέσποτα Χριστὲ, ὁ Θεὸς ἡμῶν,
saying I-thank you Master Christ the God of-us

ὅτι ἀνάξιον ὄντα με, κήρυκα πεποίηκας τῆς σῆς ἀληθείας
that unworthy being me herald you-have-made of-the your truth
γενέσθαι· καὶ δι᾽ εὐχῶν τῶν θεραπόντων σου Πέτρου
to-become and through prayers of-the servants of-you Peter
καὶ Λέοντος, ὡς τῆς χήρας δύο λεπτὰ, καὶ τὴν μικρὰν
and Leo as of-the widow two lepta also the little
ἡμῶν προθυμίαν, ἡ σὴ ἀγαθότης προσεδέξατο.
of-us eagerness the your goodness has-accepted

149 Κατελθόντος τοῦ ἀββᾶ Ἀμμῶς εἰς τὰ Ἱεροσόλυμα, καὶ
having-come-down — of-abba Ammos to — Jerusalem and
χειροτονηθέντος πατριάρχου, ἀνῆλθον πάντες οἱ ἡγούμενοι
having-been-ordained patriarch went-up all the abbots
τῶν μοναστηρίων εἰς προσκύνησιν αὐτοῦ· ἐν οἷς
of-the monasteries for obeisance of-him among whom
ἀνῆλθον ἐγὼ μετὰ τοῦ ἡγουμένου μου. Καὶ ἤρξατο λέγειν
went-up I with the abbot of-me and began to-say
πρὸς τοὺς Πατέρας ὁ πατριάρχης· Εὔξασθέ μοι, Πατέρες,
to the Fathers the patriarch pray for-me Fathers
ὅτι μέγα φορτίον καὶ δυσβάστακτον ἐνεχειρίσθην, καὶ
because great burden and hard-to-bear I-have-been-entrusted-with and
φοβεῖ με τὸ πρᾶγμα τῆς πατριαρχίας οὐ μετρίως. Πέτρου
frightens me the matter of-the patriarchate not moderately of-Peter
γὰρ καὶ Παύλου καὶ Μωϋσέως, καὶ τῶν τοιούτων ἐστὶν
for and Paul and Moses and the such-ones is
τὸ ποιμαίνειν ψυχὰς λογικὰς, ἐγὼ δὲ ταλαίπωρός εἰμι·
the to-shepherd souls rational I and wretched am
πλεῖον δὲ πάντων φοβεῖ με τῶν χειροτονιῶν τὸ βάρος.
more and than-all frightens me of-the ordinations the weight
Εὗρον γὰρ ἐγγράφως, ὅτι ὁ μακάριος, φησὶ, Λέων,
I-found for in-writing that the blessed he-says Leo
ὁ τῆς Ῥωμαίων Ἐκκλησίας γενόμενος πρόεδρος, ἐπὶ
the(-one) of-the of-Romans Church having-become president for

τεσσαράκοντα ἡμέρας παρέμενε τῷ τάφῳ τοῦ ἀποστόλου
forty days remained at-the tomb of-the apostle
Πέτρου, νηστείαις καὶ δεήσεσι προσκαρτερῶν, αἰτῶν
Peter in-fastings and supplications persevering asking
τὸν ἀπόστολον Πέτρον, ἵνα πρεσβεύσῃ ὑπὲρ αὐτοῦ τῷ
the apostle Peter that he-might-intercede for him —
Θεῷ εἰς τὸ συγχωρηθῆναι τὰ πλημμελήματα αὐτοῦ.
with-God for the to-be-forgiven the offenses of-him
Καὶ δὴ πληρωθεισῶν τῶν τεσσαράκοντα ἡμερῶν ὤφθη
and indeed having-been-fulfilled the forty days appeared
αὐτῷ ὁ ἀπόστολος Πέτρος, λέγων· Ἐδεήθην ὑπὲρ σοῦ,
to-him the apostle Peter saying I-besought(-him) for you
καὶ συνεχωρήθη σοι πάντα τὰ ἁμαρτήματα, πλὴν τῶν
and have-been-forgiven you all the sins except the
χειροτονιῶν. Τοῦτο οὖν μόνον ἀπαιτηθήσῃ, εἴτε καλῶς
ordinations this then only you-will-be-asked-for whether well
εἴτε καὶ ὡς ἄλλως ἐχειροτόνησας, οὓς ἐχειροτόνησας.
or also as otherwise you-ordained whom you-ordained
Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Θεόδωρος, ὅτι ἀπὸ τριάκοντα 150
related to-us — abba Theodore that from thirty
μιλίων Ῥώμης πόλις ἐστὶ μικρά, Ῥωμίλλα λεγομένη.
miles of-Rome city is small Romilla called
Ἐν ταύτῃ τῇ πόλει ἐπίσκοπος ἦν πάνυ μέγας καὶ
in this the city bishop there-was very great and
ἐνάρετος. Ἐν μιᾷ οὖν εἰσῆλθόν τινες ἀπὸ Ῥωμίλλης
virtuous on one(-day) then went-in some from Romilla
πρὸς τὸν μακαριώτατον πάπαν Ῥώμης Ἀγαπητὸν, καὶ
to the most-blessed pope of-Rome Agapetus and
διαβάλλουσι τὸν ἐπίσκοπον τὸν ἴδιον, πρὸς τὸν πάπαν
slander the bishop the own to the pope
λέγοντες, ὅτι εἰς δίσκον ἡγιασμένον ἐσθίει. Ὁ δὲ πάπας
saying that from paten consecrated he-eats the and pope

ἐπὶ τῇ ἀκοῇ καταπλαγεὶς ἀποστέλλει δύο τινὰς τῶν
at the report astounded sends two some of-the
κληρικῶν, καὶ ἤγαγον τὸν ἐπίσκοπον δεδεμένον, καὶ
clerics and they-brought the bishop bound and
πεζεύοντα; ἐν τῇ Ῥώμῃ, καὶ ἐλθόντα ἔβαλεν εἰς
on-foot to — Rome and (him)-having-come he-put into
φυλακήν. Ποιήσας οὖν ὁ ἐπίσκοπος ἐν τῇ φυλακῇ τρεῖς
prison having-spent then the bishop in the prison three
ἡμέρας ἔφθασεν ἡ ἁγία Κυριακή. Καὶ ὡς καθεύδῃ ὁ
days arrived the holy Lord's-day and as is-sleeping the
πάπας, διαφανείσης τῆς ἁγίας Κυριακῆς, θεωρεῖ κατὰ
pope having-dawned the holy Lord's-day he-sees in
τοὺς ὕπνους λέγοντα αὐτῷ, ὅτι Ταύτῃ τῇ Κυριακῇ μὴ
the sleep (one)-saying to-him that on-this the Lord's-day not
προσκομίσῃς, μήτε σὺ μήτε ἄλλος τις τῶν κληρικῶν,
offer neither you nor other any of-the clerics
ἢ τῶν ἐπισκόπων τῶν ὄντων ἐν τῇ πόλει, ἀλλὰ ὁ
or of-the bishops the being in the city but the
ἐπίσκοπος ὃν ἐν τῇ φυλακῇ ἐγκατάκλειστον ἔχεις· ἐκεῖνον
bishop whom in the prison shut-up you-have that(-one)
θέλω σήμερον, ἵνα προσκομίσῃ. Ὡς οὖν διυπνίσθη ὁ
I-wish today that he-offer when then awoke the
πάπας, εἶπεν ἐπὶ τῇ ὁράσει, ἣν εἶδεν, λέγων ἐν ἑαυτῷ,
pope he-spoke at the vision which he-saw saying in himself
Τοιαύτην κατηγορίαν ἐδεξάμην κατ' αὐτοῦ, καὶ αὐτὸς ἔχει
such accusation I-received against him and he has
προσκομίσαι; Ἦλθεν οὖν αὐτῷ ἐκ δευτέρου φωνὴ ἐν ὁράσει
to-offer came then to-him for second(-time) voice in vision
λέγουσα· Εἶπόν σοι, ὅτι ὁ ἐπίσκοπος ὢν ἐν τῇ φυλακῇ,
saying I-told you that the bishop being in the prison
ἐκεῖνος προσκομίσαι. Ὑμοίως δὲ καὶ ἐκ τρίτου ὀφθεὶς
that(-one) (is)-to-offer likewise and also for third(-time) having-appeared

αὐτῷ διαποροῦντι, τὰ αὐτὰ εἶπεν αὐτῷ. Ὁ δὲ πάπας
to-him perplexed the same(-things) said to-him the and pope
διυπνισθεὶς ἀποστέλλει εἰς τὴν φυλακὴν, καὶ λαμβάνων
having-awoken sends to the prison and taking
τὸν ἐπίσκοπον, ἐπυνθάνετο αὐτοῦ λέγων· Τίς ἐστιν ἡ
the bishop inquired of-him saying what is the
ἐργασία σου; Ὁ δὲ ἐπίσκοπος οὐδὲν ἄλλο ἀπεκρίνετο,
work of-you the and bishop nothing other answered
εἰ μὴ, ὅτι Ἁμαρτωλός εἰμι. Ὡς οὖν οὐχ ἔπεισεν τὸν
if not that sinner I-am when then not he-persuaded the
ἐπίσκοπον ἄλλο εἰπεῖν, τότε λέγει αὐτῷ ὁ πάπας·
bishop other(-thing) to-say then says to-him the pope
Σήμερον σὺ ἔχεις προσκομίσαι. Καὶ δὴ παραστάντος
today you have to-offer and indeed having-stood-by
αὐτοῦ τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ τοῦ πάπα παρισταμένου
him at-the holy altar and the pope standing-beside
πλησίον αὐτοῦ, καὶ τῶν διακόνων κιγκλισάντων τὸ
near him and the deacons having-fenced the
θυσιαστήριον, ἤρξατο ὁ ἐπίσκοπος τῆς ἁγίας ἀναφορᾶς,
altar began the bishop the holy anaphora
καὶ πληρώσας τὴν εὐχὴν τῆς ἁγίας προσκομιδῆς, πρὸ
and having-finished the prayer of-the holy offering before
τοῦ τὸ συμπέρασμα ἐπιθῇ εὐχῇ, ἤρξατο ἐκ δευτέρου,
— the conclusion he-put to-the-prayer he-began for second(-time)
καὶ πάλιν ἐκ τρίτου καὶ τετάρτου τῆς ἁγίας ἀναφορᾶς.
and again for third and fourth the holy anaphora
Πάντων οὖν ξενιζομένων ἐπὶ τῇ βραδύτητι, λέγει αὐτῷ ὁ
all then wondering at the slowness says to-him the
πάπας· Τί ἐστιν τοῦτο ὅτι ἰδοὺ τέταρτον τὴν ἁγίαν εὐχὴν
pope what is this that behold fourth(-time) the holy prayer
εἶπες, καὶ οὐ τελεῖς αὐτὴν; Τότε ἀπεκρίθη ὁ ἐπίσκοπος·
you-said and not do-you-finish it then answered the bishop

Συγχώρησόν μοι, ὦ ἅγιε πάπα, ὅτι οὐχ εἶδον κατὰ τὸ
forgive me O holy pope because not I-saw according-to the
σύνηθες τὴν τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησιν· καὶ διὰ
customary the of-the holy Spirit coming-down and because-of
τοῦτο οὐχ ἐτέλεσα· πλὴν τὸν διάκονον τὸν κατέχοντα τὸ
this not I-finished(-it) but the deacon the holding the
ῥιπίδιον, ἀπόστησον ἐκ τοῦ ἁγίου θυσιαστηρίου, ὅτι ἐγὼ
fan remove from the holy altar because I
οὐ τολμῶ εἰπεῖν. Τότε ὁ θεῖος Ἀγαπητὸς κελεύει, καὶ
not dare to-say(-it) then the divine Agapetus orders and
ἀπέστη ὁ διάκονος, καὶ εὐθὺς εἶδον ὅ τε ἐπίσκοπος καὶ
withdrew the deacon and at-once saw the both bishop and
ὁ πάπας τὴν τοῦ ἁγίου Πνεύματος παρουσίαν· ἀλλὰ καὶ
the pope the of-the holy Spirit presence but also
τὸ καταπέτασμα κείμενον ἐπάνω τοῦ ἁγίου θυσιαστηρίου
the veil lying above the holy altar
αὐτομάτως ἐπήρθη, καὶ ἐσκέπασεν τόν τε πάπαν καὶ τὸν
of-itself was-lifted and covered the both pope and the
ἐπίσκοπον, καὶ ὅλους τοὺς παρισταμένους τοὺς διακόνους
bishop and all the(-ones) standing-by the deacons
σὺν τῷ ἁγίῳ θυσιαστηρίῳ ἐπὶ ὥρας τρεῖς.
with the holy altar for hours three
Τότε γνοὺς ὁ θεῖος Ἀγαπητὸς, ὅτι μέγας ἐστὶν ὁ
then having-known the divine Agapetus that great is the
ἐπίσκοπος, καὶ ἐσυκοφαντήθη· καὶ ὅτι οὕτως ἔθλιψεν
bishop and was-falsely-accused and that thus he-had-afflicted
αὐτὸν, λυπηθεὶς, λόγον τέθεικεν, μηκέτι κατὰ τὴν
him grieved word he-laid-down no-longer according-to the
ἁρπαγὴν νοῆσαί τι, ἀλλὰ μετὰ πολλῆς σκέψεως καὶ
snatching to-consider anything but with much reflection and
πολλῆς μακροθυμίας.
much long-suffering

Παρεβάλομεν εἰς τὰ μονίδια τῷ ἀββᾷ Ἰωάννῃ Πέρσῃ, 151
we-visited at the Little-Cells — to-abba John the-Persian
καὶ διηγήσατο ἡμῖν περὶ τοῦ μεγάλου Γρηγορίου τοῦ
and he-related to-us about the great Gregory the
μακαριωτάτου τῆς Ῥώμης ἐπισκόπου, λέγων, ὅτι Ἀπῆλθον
most-blessed — of-Rome bishop saying that I-went-off
ἐν Ῥώμῃ προσκυνῆσαι τὰς θήκας τῶν ἁγίων ἀποστόλων
to Rome to-venerate the shrines of-the holy apostles
Πέτρου καὶ Παύλου· καὶ ἐν μιᾷ, ὡς ἱστάμην εἰς τὸ μέσον
Peter and Paul and on one(-day) as I-stood in the middle
τῆς πόλεως, θεωρῶ τὸν πάπαν Γρηγόριον δι' ἐμοῦ μέλλοντα
of-the city I-see the pope Gregory by me about
παριέναι. Ἐλογισάμην οὖν βαλεῖν αὐτῷ μετάνοιαν. Ἰδόντες
to-pass-by I-reckoned then to-make to-him penitence having-seen
δέ με οἱ τοῦ ὀψικίου αὐτοῦ, ἤρξαντο ὁ καθεὶς αὐτῶν
and me the(-ones) of-the escort of-him began — each of-them
λέγειν μοι· Ἀββᾶ, μὴ βάλε μετάνοιαν. Ἐγὼ δὲ ἠγνόουν
to-say to-me abba not make penitence I and did-not-know
διατί μοι τοῦτο λέγουσιν. Πλὴν ἄτοπον εἶναι ἐνόμισα μὴ
why to-me this they-say but out-of-place to-be I-thought not
βαλεῖν αὐτῷ μετάνοιαν. Ὡς οὖν πλησίον μου ἐγένετο ὁ
to-make to-him penitence when then near me came the
πάπας, θεωρήσας ὅτι ὑπῆγον βαλεῖν μετάνοιαν, ὡς ἐπὶ
pope having-observed that I-was-going to-make penitence as before
κυρίῳ, ἀδελφοί· πρῶτος ἔβαλεν εἰς τὴν γῆν μετάνοιαν,
lord brothers first he-made to the ground penitence
καὶ οὐ πρότερον ἀνέστη, ἕως οὗ ἐγὼ πρῶτος ἠγέρθην. Καὶ
and not sooner he-rose until — I first was-raised and
ἀσπασάμενός με μετὰ πολλῆς ταπεινοφροσύνης, παρέσχεν
having-greeted me with much humility he-gave
μοι διὰ χειρὸς νομίσματα τρία, κελεύσας δοθῆναί μοι
me by hand solidi three having-ordered to-be-given to-me

καὶ κουσσούλιν, καὶ τὰς χρείας μου πάσας. Ἐδόξασα οὖν
also cowl and the needs of-me all I-glorified then
τὸν Θεὸν, τὸν χαρισάμενον αὐτῷ τοιαύτην ταπείνωσιν
— God the having-granted to-him such humility
πρὸς ἅπαντας, καὶ ἐλεημοσύνην, καὶ ἀγάπην.
toward all and almsgiving and love

152 Παρεβάλομεν ἐν τῇ λαύρᾳ τῶν Μονιδίων τῷ ἀββᾷ
we-visited in the laura of-the Little-Cells — to-abba
Μαρκέλλῳ τῷ Σκητιώτῃ· καὶ θέλων ἡμᾶς ὁ γέρων
Marcellus the Scetiote and wishing us the old-man
ὠφελῆσαι, διηγήσατο λέγων, ὅτι Ὅτε ἤμην εἰς τὴν χώραν
to-benefit he-related saying that when I-was in the country
μου (ἦν δὲ ἐξ Ἀπαμείας), ἡνίοχον εἶχεν τὰ ἐκεῖ
of-me he-was and from Apamea charioteer had the(-people) there
ὀνόματι Φιλέρημον· Ἐν μιᾷ οὖν ἡττηθέντος αὐτοῦ τὸ
by-name Phileremus on one(-day) then having-been-defeated him the
βαΐν, ἀνέστησαν οἱ τοῦ μέρους αὐτοῦ κράζοντες αὐτῷ·
palm rose-up the(-ones) of-the faction of-him crying to-him
Φιλέρημος εἰς πόλιν βαΐν οὐ λαμβάνει. Μετὰ οὖν τὸ ἐλθεῖν
Phileremus in city palm not takes after then the to-come
με εἰς Σκῆτιν, εἴποτε ἐπολέμησέν με ὁ λογισμός μου,
me to Scetis if-ever fought me the thought of-me
εἰς πόλιν ἀπελθεῖν, ἢ εἰς κτῆμα, εὐθὺς ἔλεγον ἐμαυτῷ·
to city to-go-off or to estate at-once I-said to-myself
Μάρκελλε, Φιλέρημος εἰς πόλιν βαΐν οὐ λαμβάνει. Καὶ
Marcellus Phileremus in city palm not takes and
χάριτι Χριστοῦ, οὗτος ὁ λογισμὸς ἐποίησέν με μὴ ἐξελθεῖν
by-grace of-Christ this the thought made me not to-go-out-of
τὴν Σκῆτιν ἐπὶ ἔτη λε, ἕως οἱ Βάρβαροι ἦλθον, καὶ
— Scetis for years 35 until the barbarians came and
ἐπώλησάν με εἰς Πεντάπολιν, καὶ τὴν Σκῆτιν ἐρήμωσαν.
sold me into Pentapolis and — Scetis laid-waste

Ὁ αὐτὸς ἀββᾶς Μάρκελλος διηγήσατο ἡμῖν ὡς περὶ
the same abba Marcellus related to-us as about
ἄλλου γέροντος καθημένου ἐν τῇ Σκήτει (αὐτὸς δὲ ἦν),
another old-man sitting in — Scetis he and was
ὅτι Ἐν μιᾷ ἠγέρθη νυκτὸς, ἐφ' ᾧ τὸν κανόνα ποιῆσαι.
that on one he-rose by-night in-order — the rule to-do
Καὶ ὡς ἄρχεται τοῦ κανόνος, ἀκούει φωνῆς βουκίνου
and as he-begins the rule he-hears sound of-trumpet
ὡς ἐν πολέμῳ· καὶ ταραχθεὶς ὁ γέρων ἐπὶ τοῦτο,
as in war and having-been-troubled the old-man at this
ἐν ἑαυτῷ διελογίζετο· Πόθεν φωνὴ ὧδε; στρατιῶται ὧδε
in himself reasoned whence sound here soldiers here
οὐχ εἰσὶν, οὔτε δὲ πόλεμός ἐστιν ἐνταῦθα. Καὶ ὡς οὕτω
not are nor and war is here and as thus
διελογίζετο, ἰδοὺ πλησίον αὐτοῦ ἐλθὼν δαίμων, λέγει
he-reasoned behold near him having-come demon says
αὐτῷ· Ναὶ πόλεμός ἐστιν. Ἐὰν οὖν οὐ θέλεις πολεμῆσαι
to-him yes war is if then not you-wish to-fight
καὶ ἀντιπολεμηθῆναι, ὕπαγε, κοιμοῦ, καὶ οὐ πολέμησαι.
and to-be-fought-against go sleep and not be-fought
Εἶπεν πάλιν ὁ γέρων· Πιστεύσατέ μοι, τέκνα, οὐδὲν οὕτως
said again the old-man believe me children nothing so
ταράσσει καὶ διεγείρει καὶ παροξύνει καὶ τραυματίζει καὶ
troubles and arouses and provokes and wounds and
ἀπόλλει καὶ ἀνιᾷ καὶ ἐπιφέρει καθ' ἡμῶν τοὺς δαίμονας
destroys and grieves and brings against us the demons
καὶ αὐτὸν ἀρχέκακον Σατανᾶν, ὡς τὸ μελετᾷν ἡμᾶς
and himself evil-chief Satan as the to-meditate us
διαπαντὸς τοὺς Ψαλμούς. Πᾶσα μὲν γὰρ ἡ ἁγία Γραφὴ
continually the Psalms all indeed for the holy Scripture
ὠφέλιμός ἐστι, καὶ λυπεῖ οὐ μετρίως τοὺς δαίμονας· ἀλλ'
profitable is and grieves not moderately the demons but

οὐχ οὕτως τούτους λυπεῖ, ὡς τὸ Ψαλτήριον. Ὥσπερ γὰρ
not so these grieves as the Psalter as for
ἐπὶ τῶν δημοτῶν, ἐὰν τὸ μέρος τὸ ἓν τὸν βασιλέα
in-the-case-of the demesmen if the faction the one the emperor
εὐφημῇ, τὸ ἄλλο μέρος οὐ λυπεῖται, οὐδὲ κινεῖται κατ᾽
interest then made penitence the boy saying if anything
βούλεταί μου ὁ δεσπότης καὶ κελεύει, τοῦτο ποιῶ, καὶ
wishes of-me the master and orders this I-do and

ἐκ τοῦ κεφαλαίου ἐὰν κελεύῃς μειῶσαι, μείωσον. Ὁ δὲ
from the principal if you-order to-reduce(-it) reduce(-it) the and
πάπας, λέγει, Οὐκ· ἀλλ᾽ ἀρκεῖ μοι, ἵνα τοὺς τόκους ἡμῖν
pope says no but it-suffices me that the interest to-us
παραχωρήσῃς· τότε ἐξενέγκας δέδωκεν τὰς πεντήκοντα
you-remit then having-brought-out he-gave the fifty
τοῦ χρυσίου λίτρας, καὶ ἀπέλυσεν αὐτόν, εἰπὼν καὶ
of-the gold pounds and dismissed him having-said and
ἐπευξάμενος ὑπὲρ τῆς παραχωρήσεως, φησὶν, τῶν τόκων.
having-prayed for the remission he-says of-the interest
Αὕτη ἡ ἐργασία ἡ κρυπτὴ τοῦ θείου Ἀπολιναρίου, αὕτη
this the work the hidden of-the divine Apolinarius this
ἡ καλλίστη πρᾶξις αὐτοῦ, καὶ ἡ συμπάθεια. Οὕτως δὲ
the most-beautiful deed of-him and the compassion thus and
ὁ Θεὸς καὶ τῷ νεωτέρῳ συνέφθασεν διὰ τῆς αὐτοῦ
— God also to-the younger(-man) came-in-time through the his
εὐλογίας, ὅτι ἐξανέστη ἐκ τῆς τοσαύτης πτωχείας, καὶ
blessing that he-rose-up from the so-great poverty and
εἰς τὴν προτέραν αὐτοῦ τάξιν ἦλθεν, καὶ τῶν γονέων
to the former his rank came and than-the parents
αὐτοῦ ἐν πλούτῳ καὶ περιουσίᾳ χρημάτων διέπρεψεν,
of-him in wealth and abundance of-money he-was-eminent
μετὰ καὶ τοῦ μεγάλως ὠφεληθῆναι τὴν ψυχήν.
with also the greatly to-be-benefited the soul

194 Γέρων τις ἐκάθητο ἐν Σκήτει, καὶ ἀνέβη ἐν τῇ
old-man a-certain sat in Scetis and went-up to —
Ἀλεξανδρείᾳ τὸ ἐργόχειρον αὐτοῦ πωλῆσαι, καὶ θεωρεῖ
Alexandria the handiwork of-him to-sell and sees
νεώτερον μοναχὸν εἰσελθόντα εἰς τὸ καπηλεῖον. Ἐπὶ τούτῳ
younger monk having-entered into the tavern at this
ὁ γέρων ἐθλίβη, καὶ ἀνέμεινεν ἔξω, ἵνα ὅταν ἐξέλθῃ,
the old-man was-afflicted and waited outside so-that when he-comes-out

συντύχῃ αὐτῷ· ὅπερ καὶ γέγονεν. Μετὰ γοῦν τὸ ἐξελθεῖν
he-might-meet him which-very also happened after then the to-come-out
τὸν νεώτερον, κρατήσας τῆς χειρὸς αὐτοῦ ὁ γέρων,
the younger(-man) having-held the hand of-him the old-man
ἔλαβεν αὐτὸν κατ᾽ ἰδίαν, καὶ λέγει αὐτῷ· Κῦρι ἀδελφὲ, οὐκ
took him in private and says to-him lord brother not
οἶδας, ὅτι τὸ σχῆμα τὸ ἅγιον περιβέβλησαι; οὐκ οἶδας
do-you-know that the habit the holy you-have-put-on not do-you-know
ὅτι νεώτερος εἶ; οὐκ οἶδας, ὅτι πολλαί εἰσιν αἱ παγίδες
that younger you-are not do-you-know that many are the snares
τοῦ διαβόλου; οὐκ οἶδας ὅτι καὶ δι᾽ ὀφθαλμῶν, καὶ
of-the devil not do-you-know that both through eyes and
δι᾽ ἀκοῆς, καὶ διὰ σχημάτων οἱ μοναχοὶ βλάπτονται,
through hearing and through gestures the monks are-harmed
ἐν ταῖς πόλεσι διάγοντες; Σὺ δὲ εἰς τὰ καπηλεῖα ἀδεῶς
in the cities living you and into the taverns fearlessly
εἰσερχόμενος, καὶ ἃ οὐ θέλεις, ἀκούεις, καὶ ἃ οὐ
entering both what not you-wish you-hear and what not
θέλεις, θεωρεῖς, καὶ ἀσέμνως καὶ γυναιξὶ συναναστρέφῃ.
you-wish you-see and indecently also with-women you-consort
Μὴ, παρακαλῶ, ἀλλὰ φύγε εἰς τὴν ἔρημον, ὅπου δύνῃ
not I-beseech(-you) but flee to the desert where you-can
ὡς θέλεις σωθῆναι. Ἀπεκρίθη αὐτῷ ὁ νεώτερος· Ὕπαγε,
as you-wish be-saved answered him the younger(-man) go
καλόγηρε, ὁ Θεὸς οὐ χρῄζει, εἰ μὴ καρδίαν καθαράν. Τότε
monk — God not needs if not heart pure then
ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν, εἶπεν ὁ γέρων·
having-stretched-out the hands to the heaven said the old-man
Δόξα σοι ὁ Θεὸς, ὅτι ἔχω ἐν τῇ Σκήτει πεντήκοντα
glory to-you O God that I-have in — Scetis fifty
ἔτη καὶ καρδίαν καθαρὰν οὐκ ἐκτησάμην· καὶ οὗτος εἰς
years and heart pure not I-acquired and this(-one) in

τὰ καπηλεῖα ἀναστρεφόμενος καρδίαν καθαρὰν ἐκτήσατο.
the taverns going-about heart pure acquired
Καὶ στραφεὶς πρὸς τὸν ἀδελφὸν, λέγει· Ὁ Θεὸς καὶ σὲ
and having-turned to the brother he-says — God both you
σώσαι, καὶ ἐμὲ μὴ καταισχύνῃ ἀπὸ τῆς ἐμαυτοῦ ἐλπίδος.
may-save and me not may-put-to-shame from the of-myself hope
195 Ὄντων ἡμῶν ἐν Ἀλεξανδρείᾳ, Λεόντιος Ἀπαμεὺς ἀνὴρ
being us in Alexandria Leontius Apamean man
φιλόχριστος καὶ εὐλαβὴς, ἦλθεν ἀπὸ Πενταπόλεως· ἐκεῖσε
Christ-loving and devout came from Pentapolis there
γὰρ ἐν Κυρηνίᾳ ἀπὸ χρόνων ἱκανῶν ἐποίει τὴν οἴκησιν.
for in Cyrene from years considerable he-made the dwelling
Ἦλθεν δὲ ἐπὶ τοῦ ἐν ἁγίοις πάπα Ἀλεξανδρείας
he-came and in-the-time-of the among saints pope of-Alexandria
τῆς αὐτῆς πόλεως Κυρήνης, καὶ ἐν συντυχίᾳ γεγονότων
of-the same city Cyrene and in meeting having-come
ἡμῶν, διηγήσατο ἡμῖν, λέγων, ὅτι Ἐπὶ Θεοφίλου τοῦ
us he-related to-us saying that in-the-time-of Theophilus the
μακαρίου πάπα Ἀλεξανδρείας γέγονεν ἐπίσκοπος ἐν Κυρήνῃ
blessed pope of-Alexandria became bishop in Cyrene
Συνέσιος ὁ φιλόσοφος· ὅστις ἐλθὼν ἐν Κυρήνῃ εὗρεν ἐκεῖ
Synesius the philosopher who having-come to Cyrene found there
φιλόσοφόν τινα Εὐάγριον ὀνόματι ἑταῖρον αὐτοῦ, ἐν τοῖς
philosopher a-certain Evagrius by-name comrade of-him in the
παιδευτηρίοις γινόμενον, καὶ φίλον αὐτοῦ γνήσιον ὄντα, καὶ
schools having-been and friend of-him genuine being and
ἐμμανῶς περὶ τὴν τῶν εἰδώλων λατρείαν ὑπάρχοντα· ὃν
madly about the of-the idols worship being whom
ὁ ἐπίσκοπος Συνέσιος μεταθεῖναι ἐβούλετο καὶ οὐ μόνον
the bishop Synesius to-convert wished and not only
ἐβούλετό τε καὶ ἔσπευδεν, ἀλλὰ καὶ ἀγῶνα πολὺν ἔσχεν καὶ
wished both and hastened but also struggle much he-had and

μέριμναν, διὰ ἣν πρὸς αὐτὸν ἀρχῆθεν ἐκέκτητο.
care for(-the-love) which toward him from-the-beginning he-had-acquired
Ὁ δὲ οὐκ ἠνείχετο, οὐδὲ παρεδέχετο αὐτοῦ παντελῶς τὴν
he and not endured nor received of-him at-all the
διδασκαλίαν. Πλὴν ὁ ἐπίσκοπος ἐκ τῆς πολλῆς πρὸς αὐτὸν
teaching but the bishop from the much toward him
φιλίας οὔτε ἐδειλίασεν, οὐδὲ ἀπέσχετο τοῦ καθ' ἑκάστην
friendship neither shrank nor abstained-from the on each
ἡμέραν διδάσκειν καὶ παρακαλεῖν, καὶ νουθετεῖν ὅπως εἰς
day to-teach and to-exhort and to-admonish that in
Χριστὸν πιστεύσας δέξηται αὐτοῦ τὴν ἐπίγνωσιν. Ὥστε
Christ having-believed he-might-receive of-him the knowledge so-that
ἐν μιᾷ καὶ τοῦτο εἰπεῖν πρὸς αὐτὸν τὸν φιλόσοφον·
on one(-day) also this to-say to him the philosopher
Ὄντως, κύριε ὦ ἐπίσκοπε, μετὰ πάντων καὶ τοῦτό μοι
truly lord O bishop with all(-the-rest) also this me
ἀπαρέσκει, ὃ λέγετε οἱ Χριστιανοὶ, ὅτι καὶ συντέλεια
displeases which you-say the Christians that both consummation
τοῦ κόσμου τούτου γίνεται, καὶ μετὰ τὴν συντέλειαν
of-the world this comes and after the consummation
πάντες οἱ ἐξ αἰῶνος γενόμενοι οἱ ἄνθρωποι ἐν τούτῳ
all the(-ones) from age having-been the men in this
τῷ σώματι ἀνίστανται, καὶ τὴν σάρκα ταύτην ἄφθαρτον
the body rise and the flesh this incorruptible
ἔχοντες καὶ ἀνώλεθρον, εἰς αἰῶνας βιώσουσιν, τὰς ἀμοιβὰς
having and indestructible for ages they-will-live the rewards
ἀπολήψονται, καὶ ὅτι ὁ ἐλεῶν πτωχὸν, Θεῷ δανείζει,
they-will-receive and that the(-one) pitying poor-man to-God lends
καὶ ὁ σκορπίζων εἰς πτωχοὺς καὶ πένητας χρήματα,
and the(-one) scattering to poor and needy money
ἐν οὐρανοῖς θησαυρίζει καὶ ἑκατονταπλασίονα αὐτῷ μετὰ
in heavens treasures and hundredfold to-him with

ζωῆς αἰωνίου ἀπὸ Χριστοῦ ἐν τῇ παλιγγενεσίᾳ κομίζεται,
life eternal from Christ in the regeneration receives
ἅπερ ἅπαντα ἀπάτη μοι, καὶ χλεύη, καὶ μῦθος γίνεται,
which-very all(-things) deceit to-me and mockery and fable become
καὶ λεγόμενα φαίνεται. Ὁ δὲ Συνέσιος ὁ ἐπίσκοπος
and said(-idly) appear — and Synesius the bishop
διεβεβαιοῦτο, πάντα τῶν Χριστιανῶν ἀληθῆ εἶναι, καὶ
affirmed all(-things) of-the Christians true to-be and
μηδὲν ἔχειν ψεῦδος, ἢ ἀληθείας ἀλλότριον, καὶ διὰ
nothing to-have falsehood or from-truth alien and through
πολλῶν ἀποδείξεων ταῦτα οὕτως ἔχειν ἐπειρᾶτο δεικνύειν.
many proofs these(-things) thus to-be he-tried to-show
Καὶ δὴ μετὰ πολὺν χρόνον ποιήσας αὐτὸν γενέσθαι
and indeed after much time having-made him to-become
Χριστιανὸν, βαπτίζει καὶ αὐτὸν, καὶ τὰ τέκνα αὐτοῦ,
Christian he-baptizes both him and the children of-him
καὶ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ. Μετὰ οὖν χρόνον
and all the(-ones) in the house of-him after then time
τινὰ τοῦ βαπτισθῆναι, δίδωτι τῷ ἐπισκόπῳ χρυσίων
some of-the to-be-baptized he-gives to-the bishop of-gold
μὲν δηνάρια τρία εἰς λόγον τῶν πτωχῶν, λέγων· Δέξαι
indeed denarii three for account of-the poor saying receive
τὰ τρία κεντηνάρια καὶ δίδος πτωχοῖς καὶ ποίησόν μοι
the three centenaria and give(-them) to-poor and make me
γραμμάτιον, ὅτι ταῦτά μοι ἀποδώσει Χριστὸς ἐν τῷ
bond that these(-things) to-me will-repay Christ in the
μέλλοντι αἰῶνι. Ὁ δὲ τὸ χρυσίον δεξάμενος, προθύμως
coming age he and the gold having-received readily
ἐποίησεν αὐτῷ τὸ γραμμάτιον ὡς ἤθελεν.
made him the bond as he-wished

Ζήσας δὲ χρόνους τινὰς μετὰ τὸ ἅγιον βάπτισμα
having-lived and years some after the holy baptism
ἠσθένησεν τὴν ἐπὶ θάνατον ἀσθένειαν· καὶ μέλλων
he-fell-sick with-the unto death sickness and being-about
τελευτᾷν λέγει, τοῖς τέκνοις αὐτοῦ, ὅτι Ὡς κηδεύετέ μοι,
to-die he-says to-the children of-him that when you-bury me
τοῦτον τὸν χάρτην θέτε εἰς τὰς χεῖράς μου, καὶ οὕτως
this the paper put into the hands of-me and thus
μετ' αὐτοῦ θάψατέ με. Οἱ δὲ τελευτήσαντος αὐτοῦ καθὼς
with it bury me they and having-died him as
ἐνετείλατο αὐτοῖς, καὶ πεποιήκασι, καὶ θάπτοντες αὐτὸν
he-commanded them also did and burying him
μετὰ τοῦ ἰδιοχείρου κατώρυξαν· καὶ τῇ τρίτῃ τῆς ταφῆς
with the handwriting buried(-him) and on-the third of-the burial
ἡμέρᾳ φαίνεται τῷ ἐπισκόπῳ Συνεσίῳ νυκτὸς καθεύδοντι,
day appears to-the bishop Synesius by-night sleeping
λέγων· Ἐλθὲ εἰς τὸν τάφον ἔνθα κατάκειμαι, καὶ λάβε σου
saying come to the tomb where I-lie and take of-you
τὸ ἰδιόχειρον. Ἔλαβον γὰρ τὸ χρέος, καὶ ἐπληρώθην, καὶ
the handwriting I-received for the debt and was-paid-in-full and
οὐδένα λόγον ἔχω πρὸς σὲ, καὶ, πρὸς τὴν πληροφορίαν
no claim I-have against you and for the assurance
σου, ἰδιόχειρον ἐν αὐτῷ καθυπέγραψα. Ἠγνόει δὲ ὁ
of-you handwriting in it I-subscribed did-not-know and the
ἐπίσκοπος, ὅτι συνετάφη τῷ φιλοσόφῳ τὸ αὐτοῦ ἰδιόχειρον.
bishop that was-buried-with the philosopher the his handwriting
Καὶ πρωΐας μεταστειλάμενος τοὺς υἱοὺς αὐτοῦ, εἶπεν
and in-the-morning having-summoned the sons of-him he-said
αὐτοῖς, Τί ποτε κατεθήκατε μετὰ τοῦ φιλοσόφου ἐν τῷ
to-them what thing did-you-lay-down with the philosopher in the
τάφῳ; Οἱ δὲ ἐνόμιζον, ὅτι περὶ χρημάτων αὐτοῖς λέγει,
tomb they and thought that about money to-them he-speaks

καὶ εἶπον αὐτῷ, Οὐδὲν, δέσποτα, πλὴν τῶν ἐνταφίων
and said to-him nothing master except the grave-clothes
αὐτοῦ. Τί οὖν, φησὶν, οὐδὲ χάρτην τινὰ συνεθάψατε
of-him what then he-says not-even paper any did-you-bury-with
αὐτῷ; Οἱ δὲ ἀναμνησθέντες (ἠγνόουν γὰρ, ὅτι περὶ
him they and having-remembered they-did-not-know for that about
χάρτου λέγει) λέγουσιν αὐτῷ· Ναὶ, δέσποτα, χάρτην τινὰ
paper he-speaks say to-him yes master paper a-certain
τελευτῶν δέδωκεν ἡμῖν, λέγων· Ὡς θάπτετέ με, τοῦτόν
dying he-gave us saying when you-bury me this
μοι τὸν χάρτην δότε κρατεῖν εἰς τὰς χεῖρας, μηδενὸς
to-me the paper give to-hold in the hands no-one
τὸ παράπαν γινώσκοντος· τότε εἶπεν αὐτοῖς ὁ ἐπίσκοπος
at all knowing(-it) then told them the bishop
τὸν ὄνειρον ὃν κατὰ τὴν νύκτα ἐκείνην θεασάμενος
the dream which in the night that having-beheld
ἦν· καὶ λαβὼν αὐτοὺς μετὰ τῶν κληρικῶν καὶ τῶν
he-was and having-taken them with the clerics and the
κτητόρων, καί τινας ἀπὸ τῆς πόλεως, ἀπίη ἐπὶ τὸν
landowners and some from the city he-went to the
τάφον τοῦ φιλοσόφου. Τοῦτον ἀνοίξαντες εὑρίσκουσιν τὸν
tomb of-the philosopher this(-tomb) having-opened they-find the
φιλόσοφον κείμενον, καὶ τὸ ἰδιόχειρον τοῦ ἐπισκόπου ταῖς
philosopher lying and the handwriting of-the bishop in-the
οἰκείαις χερσὶν κατέχοντα, καὶ λαβόντες ἐκ τῶν αὐτοῦ
own hands holding and having-taken from the his
χειρῶν τὸ ἰδιόχειρον ἤνοιξαν, καὶ εὗρον αὐτὸν νεωστὶ
hands the handwriting they-opened(-it) and found it newly
γεγραμμένον τῇ χειρὶ τοῦ φιλοσόφου, οὕτως· Ἐγὼ
written by-the hand of-the philosopher thus I
Εὐάγριος φιλόσοφός σοι τῷ ὁσιωτάτῳ κυρίῳ Συνεσίῳ
Evagrius philosopher to-you the most-holy lord Synesius

ἐπισκόπῳ χαίρειν. Ἔλαβον τὸ ἐν τούτῳ τῷ πιττακίῳ
bishop greeting I-received the(-thing) in this the tablet
σου γεγραμμένον, καὶ ἐπληρώθην, καὶ οὐδένα λόγον ἔχω
of-you written and was-paid-in-full and no claim I-have
πρὸς σὲ, ἕνεκα οὗ δέδωκά σοι χρυσίου, ἤγουν διὰ
against you on-account-of what I-gave you of-gold that-is through
σοῦ, Χριστῷ τῷ Θεῷ καὶ Σωτῆρι ἡμῶν. Κατεπλάγησαν
you to-Christ the God and Savior of-us were-astounded
δὲ οἱ βλέποντες, καὶ ἐπὶ ὥρας πολλὰς, τὸ, Κύριε
and the(-ones) seeing and for hours many the Lord
ἐλέησον, βοῶντες, ἐδόξαζον τὸν Θεὸν ποιοῦντα θαυμασίαν,
have-mercy crying glorified — God doing wonderful(-things)
καὶ τοιαύτην ἀεὶ πληροφορίαν διδόντα τοῖς δούλοις αὐτοῦ.
and such always assurance giving to-the servants of-him
Διεβεβαιοῦντο δὲ καὶ τοῦτο ὁ αὐτὸς κύριος Λεόντιος, ὅτι τὸ
affirmed and also this the same lord Leontius that the
ἰδιόχειρον τὸν ἔχον τὴν ὑπογραφὴν τοῦ φιλοσόφου σώζεται
handwriting the having the signature of-the philosopher is-preserved
μέχρι τῆς σήμερον, καὶ ἐν τῷ κειμηλιαρχείῳ τῆς ἐκκλησίας
until — today and in the treasury of-the church
Κυρήνης κεῖται· οἷος ἂν προβληθῇ κειμηλιάρχης ἐκεῖ, μετὰ
of-Cyrene lies whoever — is-appointed keeper-of-the-treasury there with
τῶν ἱερῶν σκευῶν, καὶ αὐτὸ παραλαμβάνει, καὶ φυλάττει
the sacred vessels also it receives and keeps
αὐτὸ ἐπιμελῶς, καὶ μετ᾽ αὐτῶν σῶον καὶ ἀβλαβὲς ἐπιδίδοται.
it carefully and with them safe and unharmed is-handed-over

Shepherd boys playing at the liturgy fall in terror when fire from heaven consumes their offering, and the bishop builds a church over the rock; Rufinus tells how the boy Athanasius baptized his playfellows. Athanasius says those baptized for fear are sealed purses with nothing inside. Angels let a deacon correct an old man who offered by a heretic's form. A goldsmith's apprentice mixes his wage into a jeweled cross and is made his patron's heir, a poor young man who chose Christ for his curator is given a rich wife, and a devout son long reproached by his father dies as he foretold.

196 Διηγήσατο ἡμῖν ὁ Γεώργιος ὁ τῆς Ἄφρων χώρας ὕπαρχος
related to-us — George the of-the of-Africa country prefect
γεγονὼς, ὁ φιλόχριστος καὶ φιλομόναχος καὶ φιλόπτωχος,
having-been the Christ-loving and monk-loving and poor-loving
ὁ πᾶσι χαίρων τοῖς ἀγαθοῖς οἷς ἀγαπᾷ ὁ Θεός.
the(-one) in-all rejoicing the good(-things) which loves — God
Ὅτι ἐν τῇ χώρᾳ μου (ἦν δὲ τῶν μερῶν Ἀπαμείας τῆς
that in the country of-me he-was and of-the parts of-Apamea of-the
δευτέρας τῶν Σύρων ἐπαρχίας)· ὅτι χωρίον ἐστὶν ἀπὸ μιλίων
second of-the Syrians province that village there-is from miles
τῆς πόλεως τεσσαράκοντα, τὸ Γοναγὸν καλούμενον. Ἐν
of-the city forty the(-one) Gonagon called in
τοῖς ὄρεσιν οὖν τοῦ αὐτοῦ κτήματος ὡς ἀπὸ μιλίου ἑνὸς
the mountains then of-the same estate about from mile one
παιδία ἔβοσκον θρέμματα. Καὶ οἷα συμβαίνει, καὶ ὀφείλει
children were-grazing flocks and as happens and must
γίνεσθαι παιδίοις, ἠθέλησαν παῖξαι κατὰ τὴν τῶν παίδων
be with-children they-wished to-play according-to the of-the children
συνήθειαν. Καὶ ὡς ἔπαιζον, λέγουσι πρὸς ἀλλήλους· Δεῦτε,
custom and as they-played they-say to one-another come
ποιήσωμεν σύναξιν, καὶ προσενέγκωμεν προσφοράν· καὶ
let-us-make synaxis and let-us-offer offering and

τούτου πᾶσιν ἀρέσαντος, προεβάλοντο ἐξ αὐτῶν ὡς ἐν
this to-all having-pleased they-put-forward from them(-one) as in
τάξει πρεσβυτέρου, καὶ ἄλλους δύο, ὡς ἐν τάξει διακόνων.
rank of-presbyter and others two as in rank of-deacons
Καὶ ἔρχονται εἰς μίαν πέτραν ὁμαλήν· καὶ γὰρ ἔπαιζον.
and they-come to one rock flat and for they-were-playing
Καὶ ἐπὶ τῇ πέτρᾳ, ὡς ἐν τάξει θυσιαστηρίου διεθήκασι τοὺς
and on the rock as in rank of-altar they-set-out the
ἄρτους, καὶ ἐν καυκίῳ ὀστρακίνῳ οἶνον. Καὶ παρίστανται,
loaves and in jug earthen wine and stand-by
ὁ μὲν ὡς πρεσβύτερος, οἱ δὲ ὡς διάκονοι,
the(-one) indeed as presbyter the(-ones) and as deacons
ἔνθεν καὶ ἔνθεν. Καὶ ὁ μὲν τὴν προσκομιδὴν
on-this(-side) and on-that(-side) and the(-one) indeed the offering
ἔλεγεν, οἱ δὲ τοῖς φακιολίοις ἐῤῥίπιζον. Εὑρέθη δὲ
said the(-ones) and with-the kerchiefs fanned was-found and
ὁ ῥηθεὶς πρεσβύτερος τὴν ἀναφορὰν ἐπιστάμενος· ἐπειδὴ
the said presbyter the anaphora knowing since
καὶ ἡ συνήθεια ἐν τῇ Ἐκκλησίᾳ παρέδραμεν, ὥστε τοὺς
also the custom in the Church ran-on so-that the
παῖδας ἔμπροσθεν τοῦ ἁγίου ἱερατείου ἵστασθαι ἐν ταῖς
boys before the holy sanctuary to-stand in the
ἁγίαις συνάξεσιν, καὶ πρώτους μετὰ τοὺς κληρικοὺς τῶν
holy synaxes and first after the clerics of-the
ἁγίων μεταλαμβάνειν μυστηρίων. Ἐπειδὴ δὲ ἔν τισι τόποις
holy to-partake mysteries since and in some places
ἐκφωνεῖν μεγάλως εἰώθασιν οἱ πρεσβύτεροι, εὑρέθησαν τὰ
to-call-aloud greatly are-wont the presbyters were-found the
παιδία, τὴν εὐχὴν τῆς ἁγίας ἀναφορᾶς ἐκμανθάνοντα, ἐκ
children the prayer of-the holy anaphora learning-by-heart from
τοῦ συνεχῶς αὐτὴν ἐκφωνεῖσθαι.
the continually it to-be-called-aloud

Ὡς οὖν πάντα πεποιήκασιν κατὰ τὴν ἐκκλησιαστικὴν
when then all(-things) they-had-done according-to the ecclesiastical
συνήθειαν, πρινὴ τοὺς ἄρτους μελίσωσιν, πῦρ ἐκ τοῦ
custom before the loaves they-should-break fire from the
οὐρανοῦ κατελήλυθεν, καὶ τὰ προσκομισθέντα πάντα
heaven came-down and the(-things) offered all
κατέφαγεν, καὶ τὴν πέτραν κατέκαυσεν ἅπασαν· ὡς
consumed and the rock burned-down entire so-that
μηδὲ τὸ παράπαν μήτε τῆς πέτρας, μήτε τῶν
not-even at all neither of-the rock nor of-the(-things)
ἐν αὐτῇ προσενεχθέντων καταλειφθῆναι μνημόσυνον. Καὶ
on it offered to-be-left memorial and
τοῦτο ἀθρόως γενόμενον θεασάμενοι οἱ παῖδες, εἰς τὴν
this suddenly having-happened having-beheld the boys to the
γῆν ἀπὸ φόβου κατέπεσαν, καὶ ἡμιθανεῖς μεμενήκασιν,
ground from fear fell-down and half-dead remained
ῥῆξαι φωνὴν ἢ ἀναστῆναι ἐκ τῆς γῆς μὴ δυνάμενοι. Μὴ
to-utter voice or to-rise from the ground not being-able not
εἰσελθόντων δὲ αὐτῶν εἰς τὸ κτῆμα τῇ ὥρᾳ ᾗ εἶχον
having-entered and them into the estate at-the hour at-which they-had
ἔθος εἰσέρχεσθαι, ἀλλ' ἐκπλήκτων κειμένων εἰς τὸ ἔδαφος,
custom to-enter but astonished lying on the ground
ἐξῆλθον οἱ τούτων γονεῖς ἐκ τοῦ κτήματος ἰδεῖν τίνος
went-out the of-these parents from the estate to-see on-what
χάριν κατὰ τὸ ἔθος οὐ παρεγένοντο. Καὶ ἀναζητοῦντες,
account according-to the custom not they-came and searching
εὗρον αὐτοὺς κειμένους, μήτε τινὰ τῶν παρόντων
they-found them lying neither anyone of-the(-ones) present
γινώσκοντας, μήτε λαλῆσαι τοῖς λαλοῦσιν ἰσχύοντας.
knowing nor to-speak to-the(-ones) speaking able
Οὕτως ἡμιθανεῖς αὐτοὺς οἱ γονεῖς θεασάμενοι, ἕκαστος
so half-dead them the parents having-beheld each

τὸ ἴδιον παιδίον βαστάσας εἰς τὸ κτῆμα ἀπήνεγκεν· καὶ
the own child having-carried to the estate took-off and
ἐν ἐκστάσει τοιαύτῃ τὰ τέκνα ὁρῶντες ἐξίσταντο· τὴν
in ecstasy such the children seeing they-were-amazed the
τῆς ἐκστάσεως αἰτίαν μαθεῖν μὴ δυνάμενοι. Καὶ πολλάκις
of-the ecstasy cause to-learn not being-able and often
αὐτοὺς δι' ὅλης τῆς ἡμέρας ἐρωτῶντες. ἀποκρίσεως παρ'
them through whole the day asking answer from
αὐτῶν οὐκ ἐτύγχανον, καὶ τῶν συμβεβηκότων αὐτοῖς
them not they-got and of-the(-things) having-befallen them
οὐδὲν ὅλως μαθεῖν ἠδυνήθησαν, ἕως οὗ ἡ ἡμέρα ἐκείνη
nothing at-all to-learn were-able until — the day that
πᾶσα καὶ ἡ νὺξ παρῆλθεν. Τότε γὰρ οἱ παῖδες εἰς ἑαυτοὺς
all and the night passed then for the boys to themselves
κατ' ὀλίγον ἐλθόντες, ἅπαντα αὐτοῖς διηγήσαντο, ὡς
by little having-come all(-things) to-them related as
ἐπράχθη τε καὶ γεγένηται. Καὶ λαβόντες αὐτοὺς οἱ γονεῖς,
it-was-done both and had-happened and having-taken them the parents
καὶ τοὺς τοῦ αὐτοῦ κτήματος κτήτορας, ἐξῆλθον, καὶ
and the of-the same estate landowners went-out and
τὸν τρόπον ὑπέδειξαν, ἐν ᾧ τὸ παράδοξον τοῦτο θαῦμα
the manner showed in which the strange this wonder
ἐγένετο, ἴχνη τινὰ τοῦ καταβάντος πυρὸς ὑποφαίνοντες.
happened traces some of-the having-come-down fire showing
Οἵτινες τῶν γεγονότων ἀκούσαντες, καὶ ἐξ αὐτοῦ
who the(-things) having-happened having-heard and from itself
πεισθέντες τοῦ πράγματος, εἰς τὴν πόλιν εἰσέδραμον,
having-been-persuaded the matter into the city ran-in
καὶ πάντα τῷ ἐπισκόπῳ τῆς πόλεως καθ' ἑξῆς ἀνήγαγον.
and all(-things) to-the bishop of-the city in order reported
Ὁ δὲ θαυμάσας τῶν λεγομένων τὸ μέγεθος, ἐν
he and having-marveled-at of-the(-things) told the greatness to

τῷ τόπῳ σὺν παντὶ τῷ κλήρῳ ἐξῆλθεν, καὶ τοὺς παῖδας
the place with all the clergy went-out and the boys
ἰδὼν, καὶ ἐπ᾽ αὐτῶν ἀκηκοὼς τὰ γενόμενα, καὶ τὰ
having-seen and from them having-heard the(-things) having-happened and the
σημεῖα τοῦ οὐρανίου πυρὸς θεασάμενος. τοὺς μὲν παῖδας
signs of-the heavenly fire having-beheld the indeed boys
εἰς μοναστήριον ἔβαλεν, τὸν δὲ τόπον εὐαγὲς μοναστήριον
into monastery he-put the and place holy monastery
πεποίηκεν· ἐπάνω τοῦ τόπου τοῦ πυρὸς τὴν ἐκκλησίαν
he-made above the place of-the fire the church
ᾠκοδόμησε, καὶ τὸ ἅγιον στήσας θυσιαστήριον.
he-built and the holy having-set-up altar
Ἔλεγεν δὲ ἡμῖν ὁ αὐτὸς κῦρος Γεώργιος, ὅτι ἕνα ἐξ αὐτῶν
said and to-us the same lord George that one of very
τῶν παίδων ἦν θεασάμενος ἐν αὐτῷ τῷ μοναστηρίῳ,
the boys he-was having-beheld in very the monastery
ἔνθα τὸ τοιοῦτον θαῦμα γέγονεν, καὶ τοῦτο μὲν τὸ θεῖον
where the such wonder happened and this indeed the divine
καὶ ἀγγελικὸν θαῦμα διηγήσατο Γεώργιος ὁ φιλόχριστος.
and angelic wonder related George the Christ-loving
197 Ῥουφῖνος δὲ ὁ τὴν ἐκκλησιαστικὴν ἱστορίαν
Rufinus and the(-one) the ecclesiastical history
γεγραφηκὼς, ὅμοιόν τι κατὰ τοὺς πάλαι καιροὺς ὑπὸ
having-written like thing in the ancient times by
παίδων παιζόντων πραχθὲν, ἀνεγράψατο. Φησὶ γὰρ περὶ
children playing done recorded he-says for about
τοῦ ἁγίου Ἀθανασίου τοῦ μεγάλου μὲν τῆς ἀληθείας
the holy Athanasius the great indeed of-the truth
προμάχου καὶ κήρυκος, τῆς δὲ μεγάλης τῶν Ἀλεξανδρέων
champion and herald of-the and great of-the Alexandrians
προεδρεύσαντος πόλεως, καὶ πάντας νηφαλίως, καὶ κατὰ
having-presided city and all soberly and according-to

τὸ Θεῷ δοκοῦν ποιμάναντος, τὰ παιδικὰ διηγούμενος,
the to-God seeming having-shepherded the(-things) of-childhood relating
καὶ ὅτι θεόθεν αὐτῷ ἡ εἰς τὴν προεδρίαν προέλευσις
and that by-God to-him the to the presidency advance
προγνώσει θεϊκῇ τὴν ἀρχὴν ἐκομίσατο, τῆς ἀρχαιολογίας
by-foreknowledge divine the beginning took of-the ancient-history
τοῦ ἀνδρὸς ἀναλαβεῖν, καὶ οἵου ἐκ παιδὸς γέγονεν βίου,
of-the man to-take-up and of-what from child he-was life
καὶ ποίας ἀναγωγῆς μνησθῆναι, καθὰ παρελάβομεν· καὶ
and what-sort upbringing to-mention as we-received also
ἡμᾶς εἰσενεγκεῖν τῷ ἀκροατῇ. Ὁ ἐν ἁγίοις Ἀλέξανδρος ὁ
us to-bring-in to-the hearer the among saints Alexander the
πάπας τῆς Ἀλεξανδρείας, μετὰ Ἀχιλλᾶν γενόμενος, κατὰ
pope — of-Alexandria after Achillas having-become according-to
τὴν τοῦ ἁγίου Πέτρου τοῦ ἀρχιεπισκόπου καὶ μάρτυρος
the of-the holy Peter the archbishop and martyr
πρόῤῥησιν, τοῦ τὸν δυσσεβῆ Ἄρειον κατακρίναντος, ἐν
prediction the(-one) the impious Arius having-condemned on
μιᾷ παρακύπτων, καὶ θεωρῶν τὴν θάλασσαν βλέπει
one(-day) peeping-out and beholding the sea sees
παρὰ τὸν αἰγιαλὸν παίζοντας, ὡς ἔθος ἐστὶ τοῖς παιδίοις,
by the shore playing as custom is for-the children
καὶ μιμουμένους ἐπίσκοπον, καὶ τὰ τῆς ἐκκλησίας ἐξ
and imitating bishop and the(-things) of-the church by
ἔθους γινόμενα ἅπαντα. Προσέχων δὲ ἐπὶ πολὺ εἶδεν ὅτι
custom done all attending and for long he-saw that
πράττονταί τινα παρ' αὐτῶν ἀπόκρυφα τῶν μυστηρίων.
are-done some(-things) by them secret(-things) of-the mysteries
Ταραχθεὶς τοίνυν, καὶ παραχρῆμα τοὺς κληρικοὺς
having-been-troubled therefore and immediately the clerics
καλέσας, ὑπέδειξεν ἅπερ ἔπραττον, καὶ προσέταξεν
having-called he-showed what-very they-were-doing and ordered

ἀπελθεῖν, καὶ κατασχεῖν πάντας τοὺς παῖδας. καὶ πρὸς
to-go-off and to-seize all the boys and to
αὐτὸν ἀγαγεῖν. Παραγενομένους δὲ ἠρώτα τί ἦν αὐτῶν
him to-bring (them)-having-come and he-asked what was of-them
τὸ παίγνιον, καὶ τί ἔπραττον. Ἐκεῖνοι δὲ πτοηθέντες,
the game and what they-were-doing they and frightened
ἅτε παῖδες ὄντες, ἅπαν τὸ πρᾶγμα κατ᾽ ἀξίαν
inasmuch-as children being all the matter according-to worth
αὐτῷ διηγοῦνται, ὅτι καὶ ἐβάπτισάν τινας κατηχουμένους
to-him relate that also they-baptized some catechumens
δι᾽ Ἀθανασίου, ὃν κατέστησαν ἑαυτοῖς οἱ παῖδες
through Athanasius whom appointed for-themselves the boys
ἐκεῖνοι ὡσανεὶ ἐπίσκοπον. Τότε τοίνυν ἐπιμελῶς ἐπιζητήσας
those as-it-were bishop then therefore carefully having-inquired
παρ᾽ αὐτῶν ὁ Ἀλέξανδρος, τίνας ἐβάπτισαν, καὶ μαθὼν,
from them — Alexander whom they-baptized and having-learned
καὶ εὑρὼν, ὅτι κατὰ τὸ ἔθος τῆς ἡμετέρας θρησκείας
and having-found that according-to the custom of-the our religion
πάντα ἐκεῖνα ἐτέλεσαν, ἀνακοινωσάμενος τοῖς ἑαυτοῦ
all those(-things) they-performed having-consulted with-the of-himself
κληρικοῖς, ὥρισεν τοὺς ἀξιωθέντας τοῦ ἁγίου
clerics he-determined the(-ones) having-been-deemed-worthy of-the holy
λουτροῦ ἐκ δευτέρου μὴ χρῆναι βαπτισθῆναι· Ἀθανάσιον
bath for second(-time) not ought to-be-baptized Athanasius
δὲ καὶ τοὺς ἄλλους τοὺς καταλεγέντας κληρικοὺς τοῖς
and also the others the(-ones) enrolled clerics to-the
γονεῦσι παρηγγύησεν τοῦ ἀνάξαι ἐν νουθεσίᾳ καὶ παιδείᾳ
parents he-entrusted for-the to-bring-up in admonition and discipline
Κυρίου, μάλιστα Ἀθανάσιον, ὃν μετ᾽ οὐ πολὺ τῷ Θεῷ
of-(the)-Lord especially Athanasius whom after not long — to-God
καθιέρωσεν. Θείοις δὲ χαρίσμασι καταπλουτῶν παρὰ τοῦ
he-consecrated with-divine and gifts abounding by the

ἀρχιερέως τοῦ τηνικάδε ἐν μείζονι βαθμῷ προβιβασθεὶς
high-priest the then in greater rank advanced
διέπρεψεν. Ἀθανάσιον δὲ καὶ τοὺς ἄλλους, οὓς ἐν ἐκείνῃ
he-was-eminent Athanasius and also the others whom in that
τῇ παιγνίᾳ πρεσβυτέρους ἔδοξεν ἔχειν ἢ διακόνους,
the game presbyters he-seemed to-have or deacons
προσκαλεσάμενος αὐτῶν τοὺς γονεῖς, ὑπὸ μαρτυρίᾳ Θεοῦ
having-summoned of-them the parents under witness of-God
παρέδωκεν τῇ Ἐκκλησίᾳ, ὥστε ἐκεῖ αὐτοὺς τρέφεσθαι.
he-handed(-them)-over to-the Church so-that there they to-be-reared
Μικροῦ δὲ διαδραμόντος χρόνου, ὅτε καὶ παρὰ τοῦ
little and having-passed time when also by the
σημειογράφου τελείως, καὶ παρὰ τοῦ γραμματικοῦ
shorthand-writer perfectly and by the grammarian
αὐτάρκως Ἀθανάσιος ἐπαιδεύθη, παραχρῆμα ὡς πιστὴ
sufficiently Athanasius was-educated immediately as faithful
τοῦ Θεοῦ παραθήκη παρὰ τῶν γονέων παραδίδοται τῷ
— of-God deposit by the parents he-is-handed to-the
ἱερεῖ, καὶ ὡσανεί τις Σαμουὴλ ἐν τῷ ναῷ τοῦ Θεοῦ
priest and as-it-were a-certain Samuel in the temple — of-God
ἐτρέφετο. Καὶ ἡνίκα πρὸς τοὺς ἐπισκόπους Ἀλέξανδρος
he-was-reared and when to the bishops Alexander
ἐπορεύετο ἐν τῷ γήρᾳ, ἐπελέγετο εἰς τὸ ἀκολουθεῖν
traveled in the old-age he-was-chosen for the to-follow
αὐτῷ, καὶ βαστάζειν τὸ τῆς ἱερωσύνης περιβόλαιον, ὃ
him and to-carry the of-the priesthood vestment which
προσηγορεύετο Ἐφοὺδ τῇ παρ' Ἑβραίων φωνῇ.
was-called Ephod in-the among Hebrews tongue
Τοσοῦτοι δὲ ἐγένοντο τοῦ Ἀθανασίου τούτου ἐν τῇ
so-many and were — of-Athanasius this in the
Ἐκκλησίᾳ πρὸς τοὺς αἱρετικοὺς ἀγῶνες, ὥστε δοκεῖν
Church against the heretics struggles that to-seem

περὶ τούτου γεγράφθαι ἐκεῖνο τὸ εἰρημένον· «Ἐγὼ
about this(-man) to-have-been-written that the(-thing) said I
ἐπιδείξω τούτῳ, ὅσα αὐτὸν ὑπομεῖναι χρὴ ὑπὲρ τοῦ
will-show to-this(-man) how-much him to-endure must for the
ἐμοῦ ὀνόματος.» Εἰς γὰρ τὸν τούτου διωγμὸν πᾶσα
my name into for the of-this(-man) persecution all
ἡ οἰκουμένη συνεφράξατο, καὶ ἐκινήθησαν καὶ βασιλεῖς
the world was-joined and were-moved both kings
τῆς γῆς, καὶ βασίλεια καὶ στρατὸς συνῆλθον κατ᾽ αὐτοῦ·
of-the earth and kingdoms and army came-together against him
ἐκεῖνος δὲ τὸ τοῦ Θεοῦ λόγιον ἐφύλαττεν, τὸ λέγον·
he and the — of-God oracle kept the(-one) saying
«Ἐὰν οὖν στῶσιν κατ᾽ ἐμοῦ παρεμβολαὶ, οὐ φοβηθήσεται
if then stand against me camps not will-fear
ἡ καρδία μου· ἐὰν ἐπαναστῇ μοι συμβουλὴ, ἐν ταύτῃ
the heart of-me if rise-up against-me counsel in this
ἐγὼ ἐλπιῶ.» Πλὴν ἐπειδὴ τοιαῦται καὶ τοσαῦται αὐτοῦ
I will-hope but since such and so-many of-him
φέρονται πράξεις, ὥστε τὸ μὲν μέγεθος τῶν πραγμάτων
are-reported deeds that the indeed greatness of-the matters
μηδέν μοι συγχωρεῖν παρελθεῖν, τὸ δὲ πλῆθος τῶν
nothing me to-allow to-pass-over the and multitude of-the
πράξεων ἀναγκάζει με πολλὰ σιωπᾷν, ἐν ἀδήλῳ κάμνει
deeds compels me many(-things) to-keep-silent in uncertainty labors
μου ὁ λογισμὸς, τὸ μὴ δύνασθαι ἐπιδέξασθαι, τί μὲν
of-me the thought the not to-be-able to-choose what indeed
δεῖ κρατῆσαι, τί δὲ δεῖ παραλείπειν. Καὶ διὰ
one-must to-hold what and one-must to-leave-aside and because-of
τοῦτο ὀλίγων μνημονεύωμεν τῶν ἀνηκόντων τῷ
this few let-us-mention of-the(-things) pertaining to-the
πράγματι· τὰ δὲ ὑπόλοιπα ἡ φήμη διηγήσεται. Πάντως
matter the and remaining(-things) the report will-relate surely

δὲ ἐλάττονα τῆς ἀληθείας ἀπαγγελεῖ ἡ φήμη· προσθεῖναι
and less than-the truth will-announce the report to-add
γάρ τι τῇ ἀληθείᾳ οὔτε δυνήσεται, οὔτε εὑρήσει.
for anything to-the truth neither it-will-be-able nor it-will-find(-a-way)
Ἠρωτήθη ποτὲ ὁ ἅγιος Ἀθανάσιος ὁ πάπας Ἀλεξανδρείας, 198
was-asked once the holy Athanasius the pope of-Alexandria
εἰ δύναται βαπτισθῆναι μήτε πιστεύων κατὰ τὴν πίστιν
if can be-baptized not believing according-to the faith
τῶν Χριστιανῶν καὶ τὸ κήρυγμα· καὶ εἰ βαπτισθῇ δι' ἄλλας
of-the Christians and the preaching and if he-be-baptized for other
τινὰς προφάσεις πιστεύειν ὑποκρινόμενος, τί ἄρα ἔσται, ἢ
some pretexts to-believe pretending what then will-be or
πῶς αὐτὸν δέχεται ὁ Θεός. Καὶ ἀπεκρίθη λέγων· Ἠκούσατε
how him receives — God and he-answered saying you-have-heard
ἀπὸ τῶν παλαιῶν, ὡς τῷ μακαρίῳ Πέτρῳ καὶ μάρτυρι,
from the ancients that to-the blessed Peter also martyr
θνήσεως γενομένης, καὶ ἁπλῶς πολλῶν ἐπιτρεχόντων τῷ
plague having-come and simply many running-to the
βαπτίσματι φόβῳ τοῦ θανάτου, ὤφθη τις αὐτῷ, ἐν
baptism from-fear of-the death appeared someone to-him in
ἀγγέλου μορφῇ, λέγων· Ἕως πότε ἀποστέλλετε ἐνταῦθα
angel's form saying until when do-you-send here
βαλάντια ἐσφραγισμένα μὲν, κενὰ δὲ πάντη, καὶ οὐδὲν
purses sealed indeed empty and entirely and nothing
ἔχοντα ἔσωθεν; Τοιγαροῦν ὅσον ἐκ τῆς τοῦ ἀγγέλου
having within therefore as-much-as from the of-the angel
φωνῆς ἔνι στοχάσασθαι, τὴν μὲν σφραγίδα τοῦ
voice is(-possible) to-conjecture the indeed seal of-the
βαπτίσματος ἔχοντες, ἐπειδὴ ὅλως εὐεργετηθῆναί τι
baptism having since at-all to-be-benefited somewhat
νομίζοντες, εἰ τὸ βάπτισμα λάβοιεν, ἐβαπτίσθησαν.
thinking if the baptism they-should-receive they-were-baptized

199 Διηγήσατό τις τῶν Πατέρων, ὅτι τις τῶν γερόντων καθαρὸς
related one of-the Fathers that one of-the old-men pure
καὶ ἅγιος ὢν, ἐν τῷ ποιεῖν αὐτὸν τὴν προσκομιδὴν, ἀγγέλους
and holy being in the to-do him the offering angels
ἔβλεπεν ἐκ τῶν δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων ἱσταμένους.
saw on the right of-him and on left standing
Ἦν δὲ οὗτος ἐξ αἱρετικῶν παραλαβὼν τὴν προσκομιδὴν,
was and this(-man) from heretics having-received the offering
καὶ ὡς ἄπειρος τῶν θείων δογμάτων, ἐν τῷ προσφέρειν
and as inexperienced of-the divine doctrines in the to-offer
ἐν ἁπλότητι καὶ ἀκακίᾳ, ἔλεγεν, ἀγνοῶν ὅτι σφάλλεται.
in simplicity and guilelessness he-said(-it) not-knowing that he-errs
Κατ᾽ οἰκονομίαν δὲ παρέβαλεν αὐτῷ τις ἀδελφὸς,
by dispensation and visited him a-certain brother
πεῖραν ἔχων τῶν θείων δογμάτων. Συνέβη δὲ τὸν
experience having of-the divine doctrines it-happened and the
γέροντα ἐπὶ αὐτοῦ ποιῆσαι τὴν προσφοράν· καὶ εἶπεν ὁ
old-man before him to-make the offering and said the
ἀδελφὸς (διάκονος γὰρ ἦν)· Ταῦτα ἃ εἶπας, Πάτερ,
brother deacon for he-was these(-things) which you-said Father
εἰς τὴν προσκομιδὴν, οὐκ εἰσὶ τῆς ὀρθοδόξου πίστεως,
in the offering not are of-the orthodox faith
ἀλλὰ κακοδόξου. Ὁ δὲ γέρων ὡς ὅτι ἀγγέλους βλέπει ἐν
but heterodox(-faith) the and old-man as that angels he-sees in
τῷ προσφέρειν, οὐ προσέσχεν τοῖς λεχθεῖσιν, ἀλλὰ
the to-offer not attended to-the(-things) said but
κατεφρόνησεν. Ἐπέμενεν δὲ ὁ διάκονος λέγων· Σφάλλῃ,
despised(-them) persisted and the deacon saying you-err
καλόγηρε· οὐ γὰρ παραδέχεται ταῦτα ἡ Ἐκκλησία.
monk not for accepts these(-things) the Church
Ὡς οὖν εἶδεν ἑαυτὸν ὁ γέρων οὕτως ἐγκαλούμενον, καὶ
when then saw himself the old-man thus accused and

ἐλεγχόμενον ὑπὸ τοῦ διακόνου, εἶδεν συνήθως τοὺς ἀγγέλους,
refuted by the deacon he-saw as-usual the angels
καὶ ἠρώτησεν αὐτούς· Ἐπειδὴ ὁ διάκονος οὕτως μοι λέγει,
and asked them since the deacon thus to-me says
τί ἐστιν ὃ λέγει; Εἶπον δὲ αὐτῷ· Ἀνάσχου, καλῶς σοι
what is(-it) which he-says they-said and to-him submit well to-you
λέγει. Εἶπεν δὲ αὐτοῖς ὁ γέρων· Καὶ διὰ τί οὐκ εἴπατέ
he-says said and to-them the old-man and for what not did-you-tell
μοι ὑμεῖς; Εἶπον δὲ αὐτῷ· Ὅτι ὁ Θεὸς οὕτως ᾠκονόμησεν,
me you they-said and to-him that — God thus ordained
ἄνθρωπον δι' ἀνθρώπων διορθοῦσθαι. Καὶ ἀπὸ τότε
man through men to-be-corrected and from then
διωρθώσατο εὐχαριστῶν τῷ Θεῷ καὶ τῷ ἀδελφῷ.
he-corrected(-himself) thanking — God and the brother
Διηγήσατο ἡμῖν τις τῶν Πατέρων, ὅτι ὁ νεώτερός τις 200
related to-us one of-the Fathers that the younger(-man) a-certain
εὐφυὴς ἀπελθὼν ἐμαθητεύθη τινὶ χρυσοχόῳ, καὶ
gifted having-gone-off was-apprenticed to-a-certain goldsmith and
μανθάνει τελείως τὴν τέχνην. Ἐπιτάσσει οὖν αὐτῷ τις τῶν
learns perfectly the craft enjoins then him one of-the
πατρικίων ποιῆσαι σταυρὸν διάλιθον, ἵνα προσενέγκῃ αὐτὸν
patricians to-make cross jeweled that he-may-offer it
τῇ Ἐκκλησίᾳ· καὶ ἐπειδὴ πάνυ εὐφυὴς ἦν ὁ νεώτερος,
to-the Church and since very gifted was the younger(-man)
παραχωρεῖ αὐτῷ τοῦτο ἔργον ὁ ἐπιστάτης. Λογίζεται οὖν
entrusts to-him this work the master reasons then
ὁ νεώτερος, ὅτι οὗτος τοσαῦτα χρήματα προσφέρει τῷ
the younger(-man) that this(-man) so-much money offers —
Χριστῷ, διὰ τί οὐ κἀγὼ μίξω τὸν μισθόν μου εἰς τὸν
to-Christ for what not I-too will-mix the wage of-me into the
σταυρὸν, ἵνα με λογίζηται Χριστὸς ὡς δύο λεπτὰ τῆς
cross that me may-reckon Christ as two lepta of-the

χήρας ἐκείνης; Λογίζεται οὖν πόσον μισθὸν λαμβάνειν
widow that reasons then how-much wage to-receive
μέλλῃ. καὶ κιχρᾶται, καὶ βάλλει εἰς τὸ σταύρινον.
he-is-about and borrows and puts(-it) into the cross-work
Ἐλθὼν οὖν ὁ πατρίκιος σταθμίζει τὸν σταυρὸν πρὸ
having-come then the patrician weighs the cross before
τοῦ κλεισθῆναι τοὺς λίθους, καὶ εὑρίσκει αὐτὸν πρὸς τὴν
the to-be-set the stones and finds it against the
ὀλκὴν ἣν δέδωκεν, ἔχον περισσόν. Ἤρξατο ἀπειλεῖν, ὅτι
weight which he-gave having excess he-began to-threaten that
δόλον ἐποίησεν κυβεύσας τὸν χρυσοῦν. Τότε λέγει αὐτῷ
fraud he-did having-cheated-with the gold then says to-him
ὁ νεώτερος· Ὁ μόνος γινώσκων τὰ ἐγκάρδια,
the younger(-man) the(-one) alone knowing the(-things) in-the-heart
ἐπίσταται ὅτι οὐδὲν τοιοῦτον ἐποίησα. Ἀλλὰ ἰδὼν πόσα
understands that nothing such I-did but having-seen how-much
χρήματα προσήνεγκας τῷ Χριστῷ, ἐλογισάμην βαλεῖν
money you-offered — to-Christ I-reckoned to-put
τὸν μισθόν μου, ἵνα κἀγὼ ἔχω μέρος μετὰ σοῦ. καὶ
the wage of-me that I-too may-have part with you and
προσδέξηταί με ὁ Χριστὸς, ὡς τὰ δύο λεπτὰ τῆς χήρας
may-receive me — Christ as the two lepta of-the widow
ἐκείνης. Ἐκπλαγεὶς οὖν ἐπὶ τοῦτο ἐκεῖνος, εἶπεν· Ναὶ,
that amazed then at this that(-one) said yes
τέκνον, οὕτως ἐλόγισας; Λέγει αὐτῷ· Ναί. Ἔφη αὐτῷ·
child thus did-you-reckon he-says to-him yes he-said to-him
Ἐπειδὴ τοῦτο ἐλόγισας, καὶ ὅλην τὴν προαίρεσίν σου
since this you-reckoned and whole the purpose of-you
ἐκαίνωσας τῷ Χριστῷ, θελήσας μέρος ἔχειν μετ᾽ ἐμοῦ,
you-renewed — for-Christ having-wished part to-have with me

ἰδοὺ ἀπὸ τῆς σήμερον ποιήσω σε υἱὸν καὶ κληρονόμον. Καὶ
behold from — today I-will-make you son and heir and
ἔλαβεν αὐτὸν μεθ᾽ ἑαυτοῦ, καὶ ἐποίησεν αὐτὸν κληρονόμον.
he-took him with himself and made him heir
Διηγήσατό τις τῶν Πατέρων, ὅτι ποτὲ διὰ χρείαν τινὰ 201
related one of-the Fathers that once for need a-certain
ἀνῆλθον ἐν Κωνσταντινουπόλει. Ὡς δὲ κάθημαι εἰς τὴν
I-went-up to Constantinople when and I-sit in the
ἐκκλησίαν, εἰσέρχεταί τις τῶν κατὰ κόσμον λαμπρῶν,
church comes-in one of-the according-to world eminent
πάνυ φιλόχριστος, καὶ θεασάμενός με ἐκάθισεν· καὶ ἤρξατο
very Christ-loving and having-beheld me he-sat-down and began
ἐρωτᾷν περὶ σωτηρίας ψυχῆς. Ὡς οὖν εἶπον αὐτῷ, ὅτι
to-ask about salvation of-soul when then I-told him that
τοῖς καλῶς διοικοῦσιν τὰ ἐπίγεια τὰ οὐράνια
to-the(-ones) well managing the earthly(-things) the heavenly(-things)
δίδοται, ἔλεγεν· Καλῶς εἶπας, Πάτερ, ὅτι μακάριος ὁ
are-given he-said well you-said Father that blessed the(-one)
ἔχων τὴν ἐλπίδα πρὸς Θεὸν, καὶ ἑαυτὸν ἔκδοτον δίδωσι τῷ
having the hope toward God and himself surrendered gives —
Θεῷ. Καὶ ἔλεγεν· Ἐγὼ τέκνον εἰμί τινος τῶν κατὰ τὸν
to-God and he-said I child am of-one of-the according-to the
κόσμων πολὺ ἐνδόξων. Ἦν δὲ ὁ πατήρ μου πολὺ ἐλεήμων,
world very glorious was and the father of-me very merciful
καὶ πολλὰ παρεῖχεν τοῖς πτωχοῖς. Μιᾶς οὖν τῶν ἡμερῶν
and much gave to-the poor on-one then of-the days
καλεῖ με, καὶ δεικνύει μοι ὅλα τὰ χρήματα, καὶ λέγει μοι·
he-calls me and shows me all the money and says to-me
Τέκνον, τί ἡδέως ἔχεις; ἀφήσω σοι τὰ χρήματα ἢ τὸν
child what gladly do-you-have will-I-leave you the money or —
Χριστὸν κουράτορα; Ἐγὼ δὲ οἰκοδομούμενος, εἰς ἃ ἐποίει,
Christ curator I and being-edified at what he-did

εἶπον αὐτῷ· Τὸν Χριστὸν μᾶλλον· ταῦτα γὰρ πάντα
said to-him — Christ rather these(-things) for all
σήμερον αὔριον παρέρχονται. Λοιπὸν ἐξ ὅτε ἤκουσεν τῶν
today tomorrow pass-away moreover from when he-heard the(-things)
παρ᾽ ἐμοῦ, ἀφειδῶς παρεῖχεν, ὥστε αὐτὸν τελευτήσαντα
from me unsparingly he-gave so-that him having-died
ὀλίγα ἀφιέναι. Ἐγὼ δὲ πτωχὸς ὢν, ταπεινὸς προηρχόμην,
little to-leave I and poor being humble went-forth
ἔχων τὴν ἐλπίδα εἰς Θεὸν, ᾧ καταλέλοιπέ με.
having the hope in God to-whom he-left me
Ἦν δέ τις πλούσιος πάλιν καὶ τῶν μεγάλων, ἔχων
there-was and a-certain rich(-man) again also of-the great(-ones) having
γυναῖκα φιλόχριστον καὶ φοβουμένην τὸν Θεόν· εἶχεν δὲ
wife Christ-loving and fearing — God he-had and
θυγατέρα μονογενῆ. Λέγει οὖν αὐτῷ ἡ γυνὴ τῷ ἀνδρὶ
daughter only-begotten says then to-him the wife to-the husband
αὐτῆς· Ταύτην μονογενῆ τὴν θυγατέρα ἔχομεν, καὶ τοσαῦτα
of-her this only-begotten the daughter we-have and so-many
ἀγαθὰ ἐδωρήσατο ἡμῖν ὁ Κύριος· τίνος οὖν χρήζει; Ἐὰν
goods has-given us the Lord of-what then has-she-need if
ἐπιζητήσωμεν δοῦναι αὐτήν τινι ὁμοτίμῳ ἡμῶν, οὐ
we-seek to-give her to-someone equal-in-honor to-us not
καλῷ δὲ τοῖς τρόποις, θλίβει αὐτὴν ἀεί· ἀλλὰ μᾶλλον
good and in-the ways he-afflicts her always but rather
ζητήσωμεν αὐτῇ ἄνθρωπον ταπεινὸν, καὶ φοβούμενον τὸν
let-us-seek for-her man humble and fearing the
Κύριον, ἵνα κατὰ Θεὸν ἀγαπᾷ αὐτὴν καὶ θάλπῃ. Λέγει
Lord so-that according-to God he-may-love her and cherish he-says
αὐτῷ· Καλῶς ἐβούλευσας· ὕπαγε οὖν εἰς τὴν ἐκκλησίαν,
to-her well you-counseled go then to the church
καὶ εὖξαι ἐκτενῶς, καὶ κάθισον ἐκεῖ, καὶ ὅστις εἰσέρχεται
and pray earnestly and sit there and whoever comes-in

πρῶτος, οὗτός ἐστιν ὁ ἀποσταλεὶς παρὰ Κυρίου.
first this(-one) is the(-one) sent by (the)-Lord
Ἐποίησεν οὖν οὕτως, καὶ μετὰ τὸ εὔξασθαι, καὶ καθίσαι,
she-did then thus and after the to-pray and to-sit
εὑρέθην ἐγὼ εὐθὺς εἰσερχόμενος. Πέμπει οὖν παραχρῆμα
was-found I at-once coming-in she-sends then immediately
δοῦλον, καὶ καλεῖ με, καὶ ἤρξατο ἐρωτᾷν με· Πόθεν εἶ;
servant and calls me and began to-ask me whence are-you
Ἐγὼ δὲ εἶπον αὐτῇ· Ἐκ τῆς πόλεώς εἰμι τῆσδε, καὶ
I and said to-her from the city I-am this and
τοῦδε υἱός. Ἡ δὲ εἶπεν· Ἐκείνου τοῦ ἐλεήμονος; Καὶ
of-such(-a-one) son she and said of-that the merciful(-man) and
λέγει μοι· Ἔχεις γυναῖκα; Εἶπον δὲ αὐτῇ· Οὔ. Εἶπον δὲ
she-says to-me have-you wife I-said and to-her no I-told and
αὐτῇ ἃ ἐλάλησέν μοι ὁ πατήρ μου, καὶ ἃ εἶπον αὐτῷ.
her what told me the father of-me and what I-said to-him
Καὶ δοξάσασα τὸν Κύριον, εἶπεν· Ἰδοὺ ὁ καλὸς κουράτωρ
and having-glorified the Lord she-said behold the good curator
σου ὃν ἐξελέξω, ἔπεμψέν σοι γυναῖκα καὶ χρήματα, ἵνα
of-you whom you-chose has-sent you wife and money that
χρήσῃ ἀμφοτέροις μετὰ φόβου τοῦ Θεοῦ. Καὶ εὔχομαι
you-may-use both with fear — of-God and I-pray
τὴν ὁδὸν τοῦ πατρός μου μέχρι τέλους ὁδεῦσαι.
the road of-the father of-me to end to-travel
Διηγήσατό τις τῶν Πατέρων, ὅτι κοσμικός τις εἶχεν υἱὸν 202
related one of-the Fathers that worldling a-certain had son
εὐλαβῆ καὶ παρθένον ἐγκρατῆ εἰς πάντα, καὶ ἀπὸ μικρόθεν
devout and virgin continent in all(-things) and from childhood
λοιπὸν οὐκ ἔπινεν οἶνον· εἶχεν δὲ σκοπὸν τοῦ ἀναχωρῆσαι.
moreover not he-drank wine he-had and aim of-the to-withdraw
Ὁ δὲ πατὴρ αὐτοῦ ἤθελεν αὐτὸν ἐμβαλεῖν εἰς τὰ πράγματα,
the and father of-him wished him to-put into the business

καὶ οὐκ ἠνείχετο· εἶχεν δὲ καὶ ἄλλους ἀδελφοὺς, αὐτὸς
and not he-endured(-it) he-had and also other brothers he
δὲ ἦν ὁ μείζων. Καὶ ἐπειδὴ οὐχ ἥρμοζεν ὁ σκοπὸς αὐτοῦ
and was the elder and since not fitted the aim of-him
τῷ σκοπῷ τοῦ πατρὸς αὐτοῦ, ἀεὶ ὠνείδιζεν ὁ πατὴρ
with-the aim of-the father of-him always reproached(-him) the father
αὐτοῦ, ἐπιπλήττων αὐτῷ διὰ τὴν ἐγκράτειαν, λέγων· Διατί
of-him rebuking him for the continence saying why
οὐκ εἶ ὅμοιος τῷ ἀδελφῷ σου, καὶ ἐπιδιδοῖς σεαυτὸν εἰς
not are-you like to-the brother of-you and give yourself to
τὰ πράγματα; Ὁ δὲ ἐκαρτέρει σιωπῶν. Πάντες δὲ ἠγάπων
the business he and persevered keeping-silent all and loved
αὐτὸν διὰ τὴν εὐλάβειαν αὐτοῦ καὶ τὴν σωφροσύνην.
him for the piety of-him and the chastity
Ὅτε δὲ ἤμελλεν πατὴρ αὐτοῦ τελευτᾷν, τινὲς τοῦ γένους
when and was-about father of-him to-die some of-the family
αὐτοῦ, καὶ ἄλλοι ἀγαπητοὶ, δοκοῦντες ὅτι μισεῖ αὐτὸν ὁ
of-him and others beloved(-ones) thinking that hates him the
πατὴρ, ἐκ τοῦ ἐπιπλήττειν αὐτῷ, συνάγονται, καὶ λέγουσι·
father from the to-rebuke him are-gathered and say
Μήποτε στερήσῃ τὸν δοῦλον τοῦ Θεοῦ τῆς κληρονομίας
lest he-deprive the servant — of-God of-the inheritance
ὁ πατήρ· ἀλλὰ παρακαλέσωμεν ὑπὲρ αὐτοῦ (ἦν γὰρ
the father but let-us-entreat on-behalf-of him he-was for
πλούσιος). Καὶ ἀνέρχονται πρὸς αὐτὸν, καὶ λέγουσιν αὐτῷ·
rich and they-go-up to him and say to-him
Τίποτε ἔχομεν παρακαλέσαι σε. Λέγει αὐτοῖς· Τί θέλετε
something we-have to-entreat you he-says to-them what do-you-wish
παρακαλέσαι με; Λέγουσιν αὐτῷ· Περὶ τοῦ κυρίου Ἀβίβου
to-entreat me they-say to-him about the lord Abibus
(τοῦτο γὰρ ἦν ὄνομα αὐτῷ)· ἵνα μὴ παρίδῃς αὐτόν. Λέγει
this for was name to-him that not you-overlook him he-says

αὐτοῖς· Ὑπὲρ αὐτοῦ παρακαλεῖτέ με; Λέγουσιν αὐτῷ·
to-them for him do-you-entreat me they-say to-him
Ναί. Λέγει αὐτοῖς· Καλέσατέ μοι αὐτὸν ὧδε. Ἐνόμισαν
yes he-says to-them call me him here they-thought
δὲ ὅτι ἐπιπλῆξαι αὐτῷ θέλει κατὰ τὸ ἔθος. Καὶ ὅτε
and that to-rebuke him he-wishes according-to the custom and when
εἰσῆλθεν, λέγει αὐτῷ· Ἔγγισόν μοι. Καὶ ὡς ἤγγισεν,
he-came-in he-says to-him come-near me and as he-came-near
ἤπλωσεν ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ, κλαίων καὶ λέγων·
he-spread himself at the feet of-him weeping and saying
Συγχώρησόν μοι, τέκνον μου, καὶ παρακάλεσον τὸν Θεὸν,
forgive me child of-me and entreat — God
ἵνα μὴ λογίσηταί μοι εἴ τι ἔθλιβόν σε· ὅτι σὺ τὸν
that not he-reckon to-me if in-anything I-afflicted you because you —
Χριστὸν ἐζήτεις, ἐγὼ δὲ κοσμικῶς ἐκινούμην. Καλεῖ δὲ καὶ
Christ sought I and worldly was-moved he-calls and also
τοὺς ἄλλους υἱοὺς αὐτοῦ, καὶ λέγει αὐτοῖς· Οὗτος κύριος
the other sons of-him and says to-them this(-man) lord
καὶ πατὴρ ὑμῶν. Ὅ τι εἶπεν, Ἔχετε τί ποτε, ἔχετε·
and father of-you what thing he-said you-have(-it) some thing you-have
εἶπεν, Οὐκ ἔχετε, οὐκ ἔχετε. Καὶ ἐθαύμασαν πάντες.
he-said not you-have(-it) not you-have(-it) and marveled all
Καὶ εὐθέως τελευτήσαντος τοῦ πατρὸς αὐτῶν, δίδωσιν
and at-once having-died the father of-them he-gives
τοῖς ἀδελφοῖς αὐτοῦ τὸ μέρος αὐτῶν, καὶ λαμβάνει τὸ
to-the brothers of-him the share of-them and takes the
μέρος αὐτοῦ, καὶ δίδωσιν αὐτὸ τοῖς πτωχοῖς παντελῶς,
share of-him and gives it to-the poor entirely
μηδὲν ἀφήσας ἑαυτῷ. Ἔκτισεν δὲ μικρὸν κελλίον εἰς τὸ
nothing having-left for-himself he-built and small cell for the
ἀναχωρῆσαι, καὶ μετὰ τελειῶσαι τὸ κελλίον, ἀσθενεῖ.
to-withdraw and after to-finish the cell he-falls-sick

Φθάνει οὖν τὸ τέλος αὐτοῦ. Καὶ παρεκάθετο ὁ ἀδελφὸς
arrives then the end of-him and sat-beside(-him) the brother
αὐτοῦ. Καὶ λέγει αὐτῷ· Ὕπαγε, καὶ ποίησον τῷ οἴκῳ σου
of-him and he-says to-him go and make for-the house of-you
παράκλησιν, ὅτι ἁγία ἡμέρα ἐστίν. Ἦν γὰρ ἡ πανήγυρις
comfort because holy day it-is it-was for the feast
τῶν ἁγίων ἀποστόλων. Λέγει αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ·
of-the holy apostles says to-him the brother of-him
Πῶς ἀφήσω σε, καὶ ἀπέλθω; Λέγει αὐτῷ· Ἄπελθε, καὶ
how will-I-leave you and go-off he-says to-him go-off and
ὅτε ἔρχεται ἡ ὥρα, ἐγώ σε καλῶ. Ὅτε οὖν ἦλθεν ἡ ὥρα,
when comes the hour I you will-call when then came the hour
ἀνέστη εἰς τὴν θυρίδα, καὶ κρούει, καὶ προσέχει ὁ ἀδελφὸς
he-rose to the window and knocks and attends the brother
αὐτοῦ, καὶ νεύει αὐτῷ, ὅτι Δεῦρο. Καὶ εὐθέως ὅτε ἦλθεν
of-him and he-signs to-him that come and at-once when came
ὁ ἀδελφὸς αὐταῦ, παρέδωκεν τὸ πνεῦμα τῷ Κυρίῳ. Καὶ
the brother of-him he-gave-up the spirit to-the Lord and
πάντες ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν Θεὸν, λέγοντες· Ἀξίως
all marveled and glorified — God saying worthily
τῆς ἀγάπης ἧς ἠγάπησε τὸν Χριστὸν, ηὗρεν τὸ τέλος.
of-the love with-which he-loved — Christ he-found the end

A jeweler throws his gems into the sea to foil the sailors' plot, and two women talk monks out of their sin. A senatorial lady asks for a harsh companion, and a harlot who once paid a debtor's debts is brought by angels to baptism before her death. Two bishops are reconciled when the poorer falls at the richer's feet; an old man hides a thief's guilt and gets him out of prison; another runs after robbers with the purse they forgot. Fonts in Lycia fill of themselves, an oath sworn on the cross binds no one to a quarrel, and a deacon who suspected his friend begs his pardon first.

Διηγήσατό τις τῶν Πατέρων, ὅτι ποτὲ λιθουργός τις, 203
related one of-the Fathers that once stone-worker a-certain
ὃν καλοῦσι καβιδάριον, ἔχων λίθους πολυτίμους καὶ
whom they-call jeweler having stones precious and
μαργαρίτας, ἀνέβη εἰς πλοῖον μετὰ τῶν παίδων αὐτοῦ,
pearls went-up into ship with the servants of-him
θέλων ἀπελθεῖν καὶ πραγματεύσασθαι. Συνέβη δὲ αὐτὸν
wishing to-go-off and to-trade it-happened and him
κατ᾽ οἰκονομίαν ἀγαπῆσαι παιδά τινα τοῦ πλοίου, ὅστις
by dispensation to-love boy a-certain of-the ship who
ἐποίει αὐτοῦ τὴν ὑπηρεσίαν, καὶ ἀνεπαύετο καὶ αὐτὸς παρ᾽
did of-him the service and was-refreshed also he by
αὐτοῦ ἐσθίων ἐξ ὧν ἤσθιεν. Μιᾶς δὲ τῶν ἡμερῶν ἀκούει
him eating of what he-ate on-one and of-the days hears
ὁ παῖς τῶν ναυτῶν ψιθυριζόντων, καὶ βεβαιωσάντων παρ᾽
the boy the sailors whispering and having-confirmed among
ἑαυτοῖς, ἵνα ῥίψωσιν τὸν καβιδάριον εἰς τὴν θάλασσαν,
themselves that they-should-throw the jeweler into the sea
δι᾽ οὓς εἶχεν λίθους. Εἶτα τοῦ παιδὸς μετὰ πολλῆς
because-of which he-had stones then the boy with much
στυγνότητος εἰσελθόντος πρὸς τὸν ἐλεύθερον κατὰ τὸ
gloom having-entered to the free(-man) according-to the

ἔθος ποιῆσαι αὐτῷ τὴν ὑπηρεσίαν, λέγει αὐτῷ· Τί στυγνὸς
custom to-do for-him the service he-says to-him why gloomy
εἶ, παιδίον, σήμερον; Ἐκεῖνος ἐταμιεύσατο λέγων οὐδέν.
are-you child today that(-one) kept(-it)-to-himself saying nothing
Πάλιν οὖν ἠρώτα αὐτὸν λέγων· Ὄντως εἰπέ μοι, τί ἔχεις;
again then he-asked him saying truly tell me what do-you-have
Τότε ἐξαφίη κλαυθμὸν, καὶ λέγει αὐτῷ· Ὅτι οὕτως οὕτως
then he-let-out weeping and says to-him that thus thus
ἐβουλεύσαντο οἱ ναῦται περὶ σοῦ. Λέγει αὐτῷ· Ἀκριβῶς;
plotted the sailors about you he-says to-him exactly(-so)
Ἀπεκρίθη αὐτῷ· Ναὶ, οὕτως ἐβεβαίωσαν περὶ σοῦ παρ᾽
he-answered him yes thus they-confirmed about you among
ἑαυτοῖς. Τότε καλεῖ τοὺς παῖδας αὐτοῦ, καὶ λέγει αὐτοῖς· Εἴ
themselves then he-calls the servants of-him and says to-them if
τι ἂν εἴπω ὑμῖν, ποιήσατε ἀόκνως καὶ ἄνευ τινὸς
anything — I-tell you do(-it) without-hesitation and without any
λογισμοῦ. Τότε ἁπλοῖ σινδόνα, καὶ ἄρχεται λέγειν αὐτοῖς·
thought then he-spreads sheet and begins to-say to-them
Φέρετε τά μου ζικία. Καὶ ἤνεγκαν. Καὶ ἀνοίξας ἤρξατο
bring the my little-boxes and they-brought(-them) and having-opened he-began
ἁπλοῦν τὰ λιθάρια, καὶ μετὰ τὸ τεθῆναι πάντα, ἤρξατο
to-spread-out the little-stones and after the to-be-placed all he-began
οὕτως λέγειν· Αὕτη ἡ ζωή ἐστιν; Διὰ ταῦτα κινδυνεύω,
thus to-say this the life is because-of these I-run-risks
θαλασσομαχῶ, καὶ μετ᾽ ὀλίγον ἀποθνήσκω, μηδὲν λαβὼν
I-fight-the-sea and after little I-die nothing having-taken
μεθ᾽ ἑαυτοῦ ἐκ τοῦ κόσμου τούτου; Λέγει τοῖς παισὶν
with myself from the world this he-says to-the servants
αὐτοῦ· Ἐκκενώσατε πάντα εἰς τὴν θάλασσαν. Εὐθέως οὖν
of-him empty all into the sea at-once then

μετὰ τοῦ λόγου αὐτοῦ, ἠκόντησαν αὐτὰ εἰς τὴν θάλασσαν.
with the word of-him they-hurled them into the sea
Καὶ ἐξέστησαν οἱ ναῦται, καὶ διεσκεδάσθη ἡ βουλὴ αὐτῶν.
and were-amazed the sailors and was-scattered the plot of-them
Ἔλεγέν τις, ὅτι ἐδάχθη τις ὑπὸ ὄφεως, καὶ εἰσῆλθεν 204
said someone that was-bitten someone by snake and he-entered
εἰς πόλιν τινὰ περιοδευθῆναι· Ὑπεδέξατο αὐτὸν δὲ γυνὴ
into city a-certain to-be-treated received him and woman
εὐλαβὴς καὶ φοβουμένη τὸν Κύριον, καὶ ἐθεράπευσεν
devout and fearing the Lord and tended
αὐτόν. Ὅτε δὲ εἶχεν μικρὰν ἄνεσιν τῶν πόνων, ἤρξατο ὁ
him when and he-had little relief of-the pains began the
διάβολος σπείρειν αὐτῷ λογισμοὺς εἰς αὐτὴν, καὶ ἤρξατο
devil to-sow in-him thoughts toward her and he-began
θέλειν ἅψασθαι τῆς χειρὸς αὐτῆς. Ἡ δὲ ἔλεγεν αὐτῷ·
to-wish to-touch the hand of-her she and said to-him
Μὴ οὕτως, Πάτερ, Χριστὸν ἔχῃς· μνήσθητι τῆς λύπης
not thus Father Christ you-have remember the grief
καὶ τῆς μετανοίας, ἧς μέλλεις μετανοεῖν καθήμενος
and the penitence which you-are-about to-repent sitting
ἐν τῷ κελλίῳ σου· μνήσθητι τῶν στεναγμῶν καὶ τῶν
in the cell of-you remember the groans and the
δακρύων, ὧν μέλλεις ποιεῖν. Ἀκούσας δὲ ταῦτα παρ᾽
tears which you-are-about to-make having-heard and these(-things) from
αὐτῆς καὶ ἕτερα τοιαῦτα, ἔφυγεν ἀπ᾽ αὐτοῦ ὁ πόλεμος,
her and other such fled from him the war
καὶ διατραπεὶς ἤθελεν φυγεῖν, μὴ δυνάμενος ἀτενίσαι
and abashed he-wished to-flee not being-able to-gaze
εἰς αὐτήν. Ἡ δὲ πάλιν ἐν σπλάγχνοις Χριστοῦ ἔλεγεν
at her she and again in bowels of-Christ said
αὐτῷ· Μηδὲν διατραπῇς, χρείαν ἔχεις ἔτι περιοδευθῆναι·
to-him not be-abashed need you-have still to-be-treated

οὐχ ἦν τῆς καθαρᾶς σου ψυχῆς διαλογίσασθαι ἐκεῖνα,
not was of-the pure of-you soul to-reason those(-things)
ἀλλὰ τοῦ φθονεροῦ διαβόλου ἦν ἡ ὑποβολή. Καὶ οὕτως
but of-the envious devil was the suggestion and thus
ἀσκανδαλίστως θεραπεύσασα αὐτὸν ἀπέλυσεν μετὰ ἐφοδίων.
without-scandal having-tended him she-dismissed with provisions
205 Διηγήσατό τις, ὅτι ἀδελφὸς μένων ἐν κοινοβίῳ, ἐπέμπετο
related someone that brother staying in community was-sent
εἰς ἀποκρίσεις τοῦ κοινοβίου· ἦν δέ τις κοσμικὸς
on errands of-the community there-was and a-certain worldling
εὐλαβὴς εἰς κώμην τινὰ, καὶ ἐδέχετο αὐτὸν κατὰ πίστιν
devout in village a-certain and he-received him in faith
ὁσάκις ἤρχετο εἰς τὴν κώμην. Εἶχεν δὲ ὁ κοσμικὸς
as-often-as he-came to the village had and the worldling
μίαν θυγατέρα προσφάτως χηρεύσασαν, μετὰ τοῦ ἀνδρὸς
one daughter recently widowed with the husband
αὐτῆς ἐνιαυτὸν ἕνα ἢ δύο ζήσασαν. Εἰσερχόμενος οὖν καὶ
of-her year one or two having-lived coming-in then and
ἐξερχόμενος ὁ ἀδελφὸς πρὸς αὐτοὺς, ἐπολεμήθη πρὸς
going-out the brother to them was-warred-upon toward
αὐτήν· ἐκείνη δὲ συνετὴ οὖσα ἐνόησεν, καὶ ἐφύλαττεν
her she and sensible being perceived(-it) and guarded
ἑαυτὴν, μὴ ἐλθεῖν εἰς τὸ πρόσωπον αὐτοῦ. Μιᾶς οὖν τῶν
herself not to-come to the face of-him on-one then of-the
ἡμερῶν εἰσῆλθεν ὁ πατὴρ αὐτῆς εἰς τὴν πόλιν ἐγγὺς
days went the father of-her into the city near
διὰ χρείαν, ἀφήσας αὐτὴν μόνην ἐν τῷ οἴκῳ.
for need having-left her alone in the house
Ἐλθὼν δὲ ὁ ἀδελφὸς κατὰ τὸ ἔθος, εὑρίσκει αὐτὴν
having-come and the brother according-to the custom finds her
μόνην ἐν τῷ οἴκῳ, καὶ λέγει αὐτῇ· Ποῦ ἐστιν ὁ πατήρ
alone in the house and says to-her where is the father

σου; Λέγει αὐτῷ· Εἰς τὴν πόλιν εἰσῆλθεν. Ἤρξατο οὖν
of-you she-says to-him into the city he-went he-began then
ταράσσεσθαι ὑπὸ τοῦ πολέμου, θέλων ἐπαναστῆναι αὐτῇ.
to-be-troubled by the war wishing to-rise-against her
Λέγει αὐτῷ ἐκείνη μετὰ συνέσεως· Μηδὲν ταραχθῇς· ὁ
says to-him she with understanding not be-troubled the
πατήρ μου ἕως ὀψὲ οὐκ ἔρχεται. Ὧδέ ἐσμεν οἱ δύο· οἶδα
father of-me until late not comes here we-are the two I-know
δὲ ὅτι ὑμεῖς οἱ μοναχοὶ μηδὲν πράττετε ἐκτὸς προσευχῆς.
and that you the monks nothing do without prayer
Ἐγείρου οὖν, εὖξαι τῷ Θεῷ, καὶ εἴ τι ἐμβαλεῖ εἰς τὴν
rise then pray — to-God and if anything he-will-put into the
καρδίαν σου, τοῦτο ποιήσωμεν. Ὁ δὲ οὐκ ἠνείχετο, ἀλλ᾽
heart of-you this let-us-do he and not endured(-it) but
ἐταράσσετο ἐκ τοῦ πολέμου. Λέγει αὐτῷ· Τῷ ὄντως σὺ
was-troubled from the war she-says to-him in truth you
ἔγνως ποτὲ γυναῖκα; Λέγει αὐτῇ· Οὔ· ἀλλὰ διὰ τοῦτο
knew ever woman he-says to-her no but because-of this
θέλω ἵνα εἴδω τί ἐστιν. Λέγει αὐτῷ· Διὰ τοῦτο οὖν
I-wish that I-may-see what it-is she-says to-him because-of this then
ταράσσῃ, ἀγνοῶν τὴν δυσωδίαν τῶν ἀθλίων γυναικῶν.
you-are-troubled not-knowing the stench of-the wretched women
Καὶ θέλουσα μειῶσαι τὸ πάθος αὐτοῦ, λέγει, ὅτι Ἐν
and wishing to-lessen the passion of-him she-says that in
τοῖς μηνιαίοις εἰμὶ, καὶ οὐδεὶς δύναταί μοι προσεγγίσαι,
the monthly(-courses) I-am and no-one can me approach
οὐδὲ ὀσφρανθῆναί μου, ἀπὸ τῆς δυσωδίας, ταλανίζουσα
nor smell me from the stench calling-wretched
τὸ σῶμα αὐτῆς. Ἀκούσας δὲ ταῦτα παρ᾽ αὐτῆς καὶ
the body of-her having-heard and these(-things) from her and
ἄλλα τοιαῦτα, σιανθεὶς καὶ ἐλθὼν εἰς ἑαυτὸν ἐδάκρυσεν.
other such disgusted and having-come to himself he-wept

Ὅτε οὖν εἶδεν ὅτι εἰσῆλθεν εἰς ἑαυτὸν, λέγει· Ἰδοὺ,
when then she-saw that he-came to himself she-says behold
εἰ ἤκουσά σου, καὶ ἐπείσθην σοι, ἤδη ἤμεθα
if I-had-listened-to you and been-persuaded by-you already we-would-be
ἀπαλλαγέντες, τελέσαντες τὴν ἁμαρτίαν. Ποίᾳ οὖν ὄψει
having-been-rid having-completed the sin with-what then face
εἶχες λοιπὸν θεάσασθαι τὸν πατέρα μου, ἢ ἀπελθεῖν
would-you-have moreover to-behold the father of-me or to-go-off
εἰς τὸ μοναστήριόν σου, καὶ ἀκοῦσαι τοῦ χοροῦ τῶν
to the monastery of-you and to-hear the choir of-the
ἁγίων ἐκείνων ψαλλόντων; παρακαλῶ οὖν σε, νήψον, καὶ
holy those chanting I-beseech then you be-sober and
μὴ θελήσῃς διὰ μικρὰν ἡδονὴν ἀπολέσαι τοὺς τοιούτους
not wish for little pleasure to-lose the such
καμάτους ὅσους ἔχεις, καὶ στερηθῆναι αἰωνίων ἀγαθῶν.
labors as-many-as you-have and to-be-deprived of-eternal goods
Ἀκούσας δὲ αὐτῆς ταῦτα τὰ ῥήματα, ὁ ἀδελφὸς,
having-heard and from-her these the words the brother
ὁ παθὼν τὸ διήγημα, ἔλεγεν τῷ ἐξηγησαμένῳ,
the having-suffered the story told to-the(-one) having-recounted(-it)
εὐχαριστῶν τῷ Θεῷ, τῷ διὰ τῆς συνέσεως καὶ
thanking — God the(-one) through the understanding and
σωφροσύνης αὐτῆς μὴ ἐάσαντι αὐτὸν τελείως ἐκπεσεῖν.
chastity of-her not having-allowed him completely to-fall
206 Διηγήσατό τις τῶν Πατέρων, ὅτι μία συγκλητικὴ ἦλθεν
related one of-the Fathers that one senatorial-lady came
εἰς προσκύνησιν τῶν ἁγίων τόπων· καὶ κατελθοῦσα εἰς
for veneration of-the holy places and having-gone-down to
Καισάρειαν, μᾶλλον ἤρεσεν αὐτῇ ἡσυχάσαι ἐκεῖ. Παρεκάλει
Caesarea rather it-pleased her to-be-still there she-besought
οὖν τὸν ἐπίσκοπον, λέγουσα· Δός μοι μίαν παρθένον,
then the bishop saying give me one virgin

ἵνα τυποῖ με καὶ διδάσκῃ με τὸν φόβον τοῦ Θεοῦ.
that she-may-mold me and teach me the fear — of-God
Ἐκλεξάμενος οὖν ὁ ἐπίσκοπος μίαν ταπεινὴν, δίδωσιν αὐτῇ.
having-chosen then the bishop one humble(-one) gives(-her) to-her
Μετὰ οὖν χρόνον, ἀπαντήσας αὐτῇ ὁ ἐπίσκοπος, λέγει· Πῶς
after then time having-met her the bishop says how(-is)
ἡ παρθένος ἡ δοθεῖσά σοι; Ἡ δὲ εἶπεν· Καλὴ μέν ἐστιν,
the virgin the(-one) given to-you she and said good indeed she-is
οὐ πάνυ δὲ ὠφελεῖ τὴν ψυχήν μου, ἐπειδὴ ἀφίει με ποιῆσαι τὰ
not very but benefits the soul of-me since she-lets me to-do the
θελήματά μου, ταπεινὴ οὖσα· χρείαν δὲ ἔχω ἵνα ἐπιπλήττῃ
wills of-me humble being need and I-have that she-rebuke
μοι, καὶ μὴ συγχωρῇ μοι ποιεῖν τὰ θελήματά μου. Πάλιν οὖν
me and not allow me to-do the wills of-me again then
λαβὼν ὁ ἐπίσκοπος ἄλλην σκληρὰν, δίδωσιν αὐτῇ, ἥτις
having-taken the bishop another harsh(-one) gives(-her) to-her who
ἔλεγεν αὐτῇ· Μωροπλουσία, ἄλλα τοιαῦτα ἐπιπλήττουσα
said to-her foolish-rich-woman other such(-things) rebuking
αὐτῇ. Μετὰ ταῦτα πάλιν ἠρώτα αὐτὴν ὁ ἐπίσκοπος·
her after these(-things) again asked her the bishop
Πῶς ἡ παρθένος; Καὶ λέγει αὐτῷ· Ἀληθῶς αὕτη ὠφελεῖ
how(-is) the virgin and she-says to-him truly this(-one) benefits
μου τὴν ψυχήν. Καὶ οὕτως διέλαμψεν ἐν μεγάλῃ πραότητι.
of-me the soul and thus she-shone-forth in great meekness
Διηγήσατο ὁ ἀββᾶς Θεώνας, καὶ ὁ ἀββᾶς Θεόδωρος, 207
related — abba Theonas and — abba Theodore
ὅτι ἐν Ἀλεξανδρείᾳ ἐπὶ Παύλου τοῦ πατριάρχου
that in Alexandria in-the-time-of Paul the patriarch
κόρη τις κατελείφθη ὑπὸ τῶν γονέων αὐτῆς, ἐχόντων
girl a-certain was-left by the parents of-her having
περιουσίαν πολλήν. Ἦν δὲ ἀκμὴν ἀβάπτιστος. Μιᾷ οὖν
property much she-was and still unbaptized on-one then

τῶν ἡμερῶν διακρίνουσα εἰς τὸν παράδεισον, ὃν κατέλιπον
of-the days going-down into the garden which left
αὐτῇ οἱ γονεῖς αὐτῆς (εἰσὶ γὰρ παράδεισοι μέσον τῆς
her the parents of-her are for gardens in-the-middle of-the
πόλεως ἐν τοῖς οἴκοις τῶν μεγιστάνων)· οὔσης οὖν αὐτῆς
city in the houses of-the magnates being then her
ἐν τῷ παραδείσῳ, ὁρᾷ τινα ἄνθρωπον, εὐτρεπίσαντα
in the garden she-sees a-certain man having-made-ready
ἑαυτὸν εἰς τὸ ἀπάγξασθαι. Τρέχει οὖν, καὶ λέγει αὐτῷ· Τί
himself for the to-hang(-himself) she-runs then and says to-him what
ποιεῖς, καλὲ ἄνθρωπε; Λέγει αὐτῇ· Τὸ ὄντως σοι ἄφες
are-you-doing good man he-says to-her the truth to-you let
με, γύναι, ὅτι ἐν πολλῇ θλίψει εἰμί. Λέγει αὐτῷ ἡ κόρη·
me woman because in much affliction I-am says to-him the girl
Εἰπέ μοι τὴν ἀλήθειαν, καὶ τάχα δύναμαί σοι βοηθῆσαι.
tell me the truth and perhaps I-can you help
Λέγει αὐτῇ· Πολλὰ χρεωστῶ, καὶ ἄχθομαι σφόδρα ὑπὸ
he-says to-her much I-owe and am-burdened exceedingly by
τῶν δανειστῶν μου· καὶ ᾑρετισάμην ταχέως ἀποθανεῖν,
the creditors of-me and I-chose quickly to-die
καὶ μὴ οὕτως ὀδυνηρὰν ζωὴν ζῆν. Λέγει αὐτῷ ἡ κόρη·
and not so painful life to-live says to-him the girl
Δέομαί σου, ἰδοὺ, ὅσα ἔχω, λάβε, καὶ ἀπόδος, μόνον μὴ
I-beseech you behold as-much-as I-have take and repay only not
ἀπολέσῃς ἑαυτόν. Καὶ λαβὼν ἐκεῖνος, ἀπέδωκεν τὸ χρέος.
destroy yourself and having-taken that(-one) repaid the debt
Στενωθεῖσα δὲ λοιπὸν ἐκείνη, καὶ μὴ ἔχουσα τὸν
straitened and moreover she and not having the(-one)
φροντίζοντα αὐτῆς, ἔρημος οὖσα ἀπὸ γονέων, ἠναγκάσθη,
caring for-her bereft being of parents was-compelled
καὶ ἤρξατο πορνεύειν.
and began to-fornicate

Καὶ ἔλεγόν τινες τῶν γινωσκόντων αὐτὴν, ἐν ποίᾳ
and said some of-the(-ones) knowing her in what
ὑποστάσει ἦσαν οἱ γονεῖς αὐτῆς· Τίς οἶδεν τὰ κρίματα Θεοῦ,
substance were the parents of-her who knows the judgments of-God
πῶς συγχωρεῖται ψυχὴν δι᾽ αἰτίαν τινὰ παραπίπτειν;
how is-allowed soul for cause a-certain to-fall-away
Ὅμως μετὰ χρόνον τινὰ ἠσθένησεν· καὶ ἦλθεν εἰς ἑαυτήν.
nevertheless after time some she-fell-sick and came to herself
Καὶ κατανυγεῖσα ἔλεγεν τοῖς γείτοσι· Διὰ τὸν Κύριον
and pricked-to-the-heart she-said to-the neighbors for the Lord
ποιήσατε ἔλεος μετὰ τῆς ψυχῆς μου, καὶ λαλήσατε τῷ
do mercy with the soul of-me and speak to-the
πάπᾳ, ἵνα ποιήσῃ με Χριστιανήν. Καὶ πάντες κατεφρόνουν
pope that he-may-make me Christian and all despised
αὐτῆς, λέγοντες· Ἆρα δέχεται ταύτην πόρνην οὖσαν; Καὶ
her saying then receives(-he) this(-one) harlot being and
ἦν ἐν θλίψει πολλῇ διὰ τοῦτο. Ἐν τούτοις δὲ οὔσης
she-was in affliction much because-of this in these(-things) and being
αὐτῆς, καὶ ἀθυμούσης, ἐπέστη αὐτῇ ἄγγελος Κυρίου ἐν
her and despairing stood-by her angel of-(the)-Lord in
τῷ σχήματι τοῦ ἀνθρώπου, μεθ᾽ οὗ ἐποίησεν τὸ ἔλεος.
the form of-the man with whom she-did the mercy
Καὶ λέγει αὐτῇ· Τί ἐστιν ὃ ἔχεις; Ἡ δὲ εἶπεν· Ὅτι
and he-says to-her what is(-it) which you-have she and said that
ἐπιθυμῶ γενέσθαι Χριστιανὴ, καὶ οὐδεὶς θέλει λαλῆσαι περὶ
I-desire to-become Christian and no-one wishes to-speak about
ἐμοῦ. Λέγει αὐτῇ· Ἐν ἀληθείᾳ ποθεῖς; Ἡ δὲ εἶπεν·
me he-says to-her in truth do-you-long(-for-it) she and said
Ναὶ, δέομαί σου. Λέγει αὐτῇ· Μηδὲν ἀθυμήσῃς. Ἐγὼ φέρω
yes I-beseech you he-says to-her not despair I bring
τινὰς, καὶ λαμβάνουσίν σε εἰς τὴν ἐκκλησίαν. Φέρει
some(-men) and they-take you to the church he-brings

οὖν ἄλλους δύο καὶ αὐτοὺς ἀγγέλους, καὶ ἀποφέρουσιν
then others two also themselves angels and they-carry
αὐτὴν εἰς τὴν ἐκκλησίαν. Καὶ πάλιν μετασχηματίζονται
her to the church and again they-transform-themselves
εἰς πρόσωπά τινα περιφανῆ τῶν ἀπὸ τῆς τάξεως τοῦ
into persons some eminent of-the(-ones) from the office of-the
Αὐγουσταλίου· καὶ καλοῦσιν τοὺς κληρικοὺς τοὺς ἐπὶ τῶν
Augustalis and they-call the clerics the(-ones) over the
φωτισμάτων τεταγμένους. Καὶ λέγουσιν αὐτοῖς οἱ κληρικοί·
illuminations appointed and say to-them the clerics
Ἡ ἀγάπη ὑμῶν παρεγγυᾶται αὐτήν; Λέγουσιν αὐτοῖς· Ναί.
the love of-you vouches-for her they-say to-them yes
Ποιήσαντες οὖν οἱ κληρικοὶ τὰ πρὸς τὴν ἀκολουθίαν
having-done then the clerics the(-things) for the order
ἐπὶ τῶν μελλόντων βαπτίζεσθαι, ἐβάπτισαν αὐτὴν εἰς
over the(-ones) about to-be-baptized they-baptized her in
τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου
the name of-the Father and of-the Son and of-the holy
Πνεύματος. Ἐνδύσαντες αὐτὴν καὶ τὰ νεοφωτιστικὰ
Spirit having-clothed her also(-in) the newly-illuminated
ἐνδύματα· καὶ λευκοφοροῦσα, εἰσῆλθεν βασταζομένη ὑπ'
garments and wearing-white she-went-in being-carried by
αὐτῶν· καὶ θέντες αὐτὴν, ἀφανεῖς ἐγένοντο.
them and having-laid(-down) her invisible they-became
Οἱ οὖν γείτονες ἰδόντες αὐτὴν λευκοφοροῦσαν, εἶπον αὐτῇ·
the then neighbors having-seen her wearing-white said to-her
Τίς σε ἐβάπτισεν; Καὶ ἀπήγγειλεν αὐτοῖς, λέγουσα· Ὅτι
who you baptized and she-reported to-them saying that
τινὲς ἐλθόντες, ἔλαβόν με εἰς τὴν ἐκκλησίαν, καὶ εἶπον
some(-men) having-come took me to the church and spoke
τοῖς κληρικοῖς, καὶ ἐβάπτισάν με. Καὶ ἔλεγον αὐτῇ·
to-the clerics and they-baptized me and they-said to-her

Τίνες οὗτοι; Ὡς οὖν οὐχ εὗρισκεν εἰπεῖν, ἀπελθόντες
who(-are) these when then not she-found(-it) to-say having-gone-off
ἀνήγγειλαν τῷ πάπᾳ. Καλεῖ οὖν ὁ πάπας τοὺς ἐπὶ τοῦ
they-reported to-the pope calls then the pope the(-ones) over the
φωτιστηρίου. Καὶ λέγει αὐτοῖς· Ταύτην ὑμεῖς ἐβαπτίσατε;
baptistery and says to-them this(-one) you baptized
Ὡμολόγησαν οὖν ὅτι παρακληθέντες ὑπὸ τοῦδε καὶ
they-confessed then that having-been-besought by this(-one) and
τοῦδε τοῦ Αὐγουσταλίου. Μεταπέμπεται οὖν ὁ ἐπίσκοπος
that(-one) of-the Augustalis(-staff) sends-for then the bishop
τοὺς ὀνομασθέντας, καὶ πυνθάνεται παρ᾽ αὐτῶν, εἰ
the(-men) named and inquires from them if
αὐτοὶ ἐνεγγυήσαντο αὐτήν. Καὶ εἶπον· Οὔτε οἴδαμεν, οὔτε
they vouched-for her and they-said neither we-know nor
γινώσκομεν τοὺς τοῦτο πεποιηκότας. Καὶ τότε ἔγνω ὁ
recognize the(-ones) this having-done and then knew the
ἐπίσκοπος, ὅτι θεῖόν ἐστι τὸ πρᾶγμα. Καὶ προσκαλεσάμενος
bishop that divine is the matter and having-summoned
αὐτὴν, εἶπεν· Εἰπέ μοι, θύγατερ, τί πέπρακταί σοι
her he-said tell me daughter what has-been-done by-you
ἀγαθόν; Λέγει αὐτῷ· Πόρνη οὖσα καὶ πτωχὴ, τί ἀγαθὸν
good she-says to-him harlot being and poor what good
εἶχον διαπράξασθαι; Λέγει αὐτῇ· Οὐδὲν ἀγαθὸν ὅλως
had-I to-accomplish he-says to-her no good at-all
οἶδας ἑαυτὴν πράξασαν; Λέγει αὐτῷ, Οὐχ· εἰ μὴ εἶδόν
do-you-know yourself having-done she-says to-him no if not I-saw
τινα θέλοντα ἀπάγξασθαι, πνιγόμενον ὑπὸ τοῦ δανειστοῦ
someone wishing to-hang(-himself) being-choked by the creditor
αὐτοῦ· καὶ πᾶσαν τὴν ὕπαρξίν μου δοῦσα, ἠλευθέρωσα
of-him and all the substance of-me having-given I-freed
αὐτόν. Καὶ ταῦτα εἰποῦσα ἀνεπαύσατο ἐν Κυρίῳ·
him and these(-things) having-said she-went-to-rest in (the)-Lord

ἐλευθερωθεῖσα καὶ αὐτὴ τῶν ἑκουσίων καὶ ἀκουσίων τῶν
freed also she of-the voluntary and involuntary the
πλημμελημάτων. Τότε δοξάσας ὁ ἐπίσκοπος τὸν Κύριον,
offenses then having-glorified the bishop the Lord
εἶπεν· Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.
said just you-are Lord and right the judgments of-you
208 Ἀδελφὸς κρατούμενος ὑπὸ λύπης, ἠρώτησεν γέροντα, λέγων·
brother held by grief asked old-man saying
Τί ποιήσω, ὅτι οἱ λογισμοί μου ἐπιτίθενταί μοι, λέγοντες,
what will-I-do because the thoughts of-me attack me saying
ὅτι Ἀκαίρως ἀπετάξω, σωθῆναι γὰρ οὐκ ἔχεις;
that untimely you-renounced(-the-world) to-be-saved for not you-have
Λέγει αὐτῷ ὁ γέρων· Οἶδας, ἀδελφὲ, κἂν μὴ δυνάμεθα
says to-him the old-man do-you-know brother even-if not we-can
εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, συμφέρει ἵνα τὰ κῶλα
enter into the land of-the promise it-is-expedient that the limbs
ἡμῶν πέσῃ ἐν τῇ ἐρήμῳ, ἢ ὑποστρέψαι εἰς Αἴγυπτον;
of-us fall in the desert than to-return to Egypt
209 Εἶπέν τις τῶν ἁγίων· Ὅταν εὐχώμεθα πρὸς Κύριον
said one of-the saints when we-pray to (the)-Lord
λέγοντες· Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· οὐχ ἵνα μὴ
saying not lead us into temptation not that not
πειραθῶμεν λέγομεν· ἀδύνατον γὰρ τοῦτο· ἀλλ' ἵνα μὴ
we-be-tempted we-say impossible for this but that not
καταποθῶμεν ὑπὸ τοῦ πειρασμοῦ, ἐν τῷ πρᾶξαί τι
we-be-swallowed-up by the temptation in the to-do anything
ἀπαρέσκον Θεῷ· τοῦτο γάρ ἐστιν τὸ μὴ εἰσελθεῖν εἰς
displeasing to-God this for is the not to-enter into
πειρασμόν. Καὶ γὰρ οἱ ἅγιοι μάρτυρες, πειρασθέντες διὰ
temptation and for the holy martyrs having-been-tempted through
τῶν βασάνων, καὶ μὴ νικηθέντες, οὐκ εἰσῆλθον εἰς
the tortures and not having-been-conquered not entered into

πειρασμόν· ὡς οὐδὲ ὁ μαχόμενος μετὰ θηρίου, ἕως
temptation as not-even the(-one) fighting with beast until
οὗ μὴ βρωθῇ ὑπ᾽ αὐτοῦ· ὅταν δὲ βρωθῇ, τότε εἰσῆλθεν
— not he-be-eaten by it when and he-is-eaten then he-entered
εἰς τὸν πειρασμόν. Οὕτως καὶ ἐπὶ παντὸς πάθους,
into the temptation thus also in-the-case-of every passion
ἕως οὗ μὴ νικηθῇ ὑπὸ τοῦ πάθους.
until — not he-be-conquered by the passion
Διηγήσατο τίς τῶν Πατέρων, ὅτι δύο ἐπίσκοποι ἐγγύτεροι 210
related one of-the Fathers that two bishops nearer
ἀλλήλων ὄντες ἔσχον ποτὲ πρὸς ἀλλήλους ὀλιγωρίαν. Ἦν
to-one-another being had once toward one-another slight-esteem was
δὲ ὁ εἷς πλούσιος, ὁ δὲ ἄλλος ταπεινότερος· καὶ ἐζήτει
and the one rich the and other humbler and sought
ὁ πλούσιος κακοποιῆσαι τὸν ἄλλον. Ἤκουσεν δὲ ἐκεῖνος,
the rich(-one) to-do-harm-to the other heard(-of-it) and that(-one)
καὶ ἔλεγεν τῷ κλήρῳ αὐτοῦ, εἰδὼς τί ἔμελλεν ποιεῖν·
and said to-the clergy of-him knowing what he-was-about to-do
Ἔχομεν νικῆσαι τῇ τοῦ Χριστοῦ χάριτι. Καὶ ἔλεγον αὐτῷ·
we-have to-conquer by-the — of-Christ grace and they-said to-him
Τίς δύναται, δέσποτα, πρὸς τοῦτον; Ἔλεγεν δὲ αὐτοῖς·
who can master against this(-man) he-said and to-them
Ἀναμείνατε καὶ ἔχετε ἰδεῖν. Ἐπιτηρεῖ οὖν· καὶ ὅτε εἶχεν ὁ
wait and you-have to-see he-watches then and when had the
συνεπίσκοπος αὐτοῦ πανήγυριν ἁγίων μαρτύρων, λαμβάνει
fellow-bishop of-him feast of-holy martyrs he-takes
τὸν κλῆρον αὐτοῦ, καὶ λέγει αὐτοῖς· Ἀκολουθήσατέ μοι, καὶ
the clergy of-him and says to-them follow me and
ἔχομεν νικῆσαι. Οἱ δὲ ἔλεγον ἐν ἑαυτοῖς· Τί ἄρα ἔχει
we-have to-conquer they and said in themselves what then has(-he)
ποιῆσαι; Καὶ ἔρχεται πρὸς αὐτόν. Καὶ ἐρχομένου αὐτοῦ μετὰ
to-do and he-comes to him and coming him with

τῆς λιτῆς, ὡς ἤγγισαν, πίπτει εἰς τοὺς πόδας αὐτοῦ μετὰ
the litany as they-drew-near he-falls at the feet of-him with
τοῦ κλήρου αὐτοῦ, λέγων· Συγχώρησον ἡμῖν, δέσποτα, δοῦλοί
the clergy of-him saying forgive us master servants
σού ἐσμεν. Ἐκεῖνος δὲ ἐκπλαγεὶς εἰς ὃ ἐποίησεν, κατανυγεὶς
of-you we-are that(-one) and astounded at what he-did pricked
τῇ ψυχῇ, τοῦ Θεοῦ μεταλαβόντος τὴν καρδίαν αὐτοῦ,
in-the soul — God having-changed the heart of-him
ἐπιλαμβάνεται τῶν ποδῶν αὐτοῦ, λέγων· Σύ μου δεσπότης
takes-hold-of the feet of-him saying you(-are) my master
καὶ πατήρ· καὶ ἀπὸ τότε μεταξὺ αὐτῶν μεγάλη ἀγάπη
and father and from then between them great love
γέγονεν. Καὶ ἔλεγεν τῷ κλήρῳ αὐτοῦ· Οὐκ ἔλεγον ὑμῖν, ὅτι
came-about and he-said to-the clergy of-him not did-I-tell you that
ἔχομεν νικῆσαι διὰ τῆς χάριτος τοῦ Θεοῦ; Καὶ ὑμεῖς οὖν
we-have to-conquer through the grace — of-God and you then
ὅτε ἔχετε, πρὸς ἀλλήλους τοῦτο ποιεῖτε, καὶ νικῶτε.
when you-have(-anything) against one-another this do and conquer
Εἶπεν πάλιν ὁ γέρων· Πλεονεκτεῖ ὁ ταπεινὸς εἰς δόξαν
said again the old-man surpasses the humble(-man) in glory
καὶ αὐτὸν τὸν βασιλέα· διότι ὁ μὲν εἰς πρόσωπον
even himself the emperor because the(-one) indeed to face
μόνον, ὁ δὲ ταπεινὸς καὶ εἰς πρόσωπον καὶ ἐκτὸς αὐτοῦ
only the and humble(-man) both to face and outside it
ἐπαινεῖται καὶ μακαρίζεται.
is-praised and is-blessed

211 Διηγήσατό τις τῶν ἡγουμένων, ὅτι Ἔμεινεν ἐγγὺς τοῦ
related one of-the abbots that stayed near the
κοινοβίου ἡμῶν γέρων τις· ἦν δὲ ἀγαθὸς τὰ τῆς
community of-us old-man a-certain he-was and good in-the(-things) of-the
ψυχῆς. Ἐγειτνίαζεν δὲ αὐτῷ ἀδελφός. Καὶ ἀπόντος τοῦ
soul neighbored and him brother and being-away the

γέροντος, ἐνεργηθεὶς ὁ ἀδελφὸς, ἀνοίξας τὴν κέλλαν
old-man actuated(-by-the-devil) the brother having-opened the cell
αὐτοῦ, εἰσελθὼν ἔλαβεν τὰ βιβλία αὐτοῦ καὶ τὰ σκεύη. Ὡς
of-him having-gone-in took the books of-him and the vessels when
οὖν ἦλθεν ὁ γέρων, ἀνοίξας τὸ κελλίον, καὶ εὑρὼν τὰ
then came the old-man having-opened the cell and having-found the
σκεύη αὐτοῦ ἡρπαγμένα, ἦλθεν πρὸς τὸν ἀδελφὸν ἀναγγεῖλαι
vessels of-him seized he-came to the brother to-report(-it)
αὐτῷ· καὶ εὗρεν τὰ σκεύη ἀκμὴν ἐν τῷ μέσῳ· οὔπω γὰρ ἦν ὁ
to-him and found the vessels still in the middle not-yet for had the
ἀδελφὸς συστείλας αὐτά. Καὶ θέλων ὁ γέρων μὴ καταισχῦναι
brother put-away them and wishing the old-man not to-shame
αὐτὸν μηδὲ ἐλέγξαι, ἐποίησεν αὐτὸν ὡς ὅτι ἐνοχλεῖ αὐτὸν
him nor to-convict made himself as that troubles him
ὁ γαστὴρ αὐτοῦ, καὶ ἀπελθὼν ἔμεινεν ὡς εἰς τὰ ἀναγκαῖα
the belly of-him and having-gone-off he-stayed as for the necessities
ἱκανὴν ὥραν, ἕως οὗ συστεῖλαι καὶ ἐκ τοῦ μέσου τὰ σκεύη.
sufficient hour until — to-put-away also from the middle the vessels
Καὶ ἐλθὼν μετὰ ταῦτα ὁ γέρων, ἤρξατο ἐρωτᾷν αὐτὸν
and having-come after these(-things) the old-man began to-ask him
περὶ ἄλλου πράγματος, καὶ τὸν ἀδελφὸν οὐκ ἤλεγξεν.
about other matter and the brother not he-convicted
Μεθ' ἡμέρας δὲ ὀλίγας, ηὑρέθησαν τὰ σκεύη τοῦ γέροντος,
after days and few were-found the vessels of-the old-man
καὶ λαβόντες τινὲς ἔβαλον εἰς φυλακὴν, τοῦ δὲ γέροντος
and having-seized(-him) some put(-him) into prison the and old-man
τὸ σύνολον μὴ μαθόντος. Ἀκούσας δὲ περὶ τοῦ ἀδελφοῦ
at all not having-learned having-heard and about the brother
ὅτι εἰς τὴν φυλακήν ἐστιν, τὴν αἰτίαν οὐκ εἰδὼς δι' ἣν
that in the prison he-is the cause not knowing for which
εἰς τὴν φυλακήν ἐστιν· ἀλλ' ἐλθὼν, φησὶν ὁ ἡγούμενος,
in the prison he-is but having-come he-says the abbot

πρός με· ἐπύκναζεν γὰρ πρὸς ἡμᾶς· καὶ λέγει μοι· Ποίησον
to me he-came-often for to us and he-says to-me do
ἀγάπην, δός μοι ὀλίγα ὠὰ, καὶ ὀλίγα καθαρά. Λέγω
(an)-act-of-love give me few eggs and few loaves I-say
αὐτῷ· Πάντως τινὰς ἔχεις σήμερον; Λέγει μοι· Ναί.
to-him surely some(-guests) you-have today he-says to-me yes
Ἦν δὲ λαβὼν αὐτὰ ὁ γέρων εἰς τὴν φυλακὴν, καὶ
he-was and having-taken them the old-man to the prison and
ποιήσῃ παράκλησιν τῷ ἀδελφῷ. Ὡς οὖν εἰσῆλθεν εἰς
that-he-might-make comfort to-the brother when then he-went-in to
τὴν φυλακὴν, πίπτει ὁ ἀδελφὸς εἰς τοὺς πόδας αὐτοῦ, καὶ
the prison falls the brother at the feet of-him and
λέγει αὐτῷ· Διὰ σέ εἰμι ὧδε, ἀββᾶ· ἐγὼ γάρ εἰμι ὁ
says to-him because-of you I-am here abba I for am the(-one)
κλέψας τὰ σκεύη σου· ἀλλ᾽ ἰδοὺ τὸ βιβλίον σου παρὰ
having-stolen the vessels of-you but behold the book of-you with
τῷδέ ἐστιν, καὶ τὸ ἱμάτιόν σου παρὰ τῷδε. Λέγει αὐτῷ
this(-one) is and the garment of-you with that(-one) says to-him
ὁ γέρων· Πληροφορηθῇ ἡ καρδία σου, τέκνον, οὐ διὰ
the old-man let-be-assured the heart of-you child not because-of
τοῦτο εἰσῆλθον· οὐδὲ γὰρ ὅλως ἔμαθον, ὅτι δι᾽ ἐμὲ
this I-came-in not for at-all I-learned that because-of me
εἶ ὧδε· ἀλλὰ ἀκούσας ὅτι ὧδε εἶ, καὶ λυπηθεὶς,
you-are here but having-heard that here you-are and having-been-grieved
εἰσῆλθον ποιῆσαί σοι παράκλησιν· καὶ ἰδοὺ ἴδε τὰ καθαρὰ
I-came-in to-make you comfort and behold see the loaves
καὶ τὰ ὠά. Πλὴν πάντα ποιήσω ἕως οὗ ἐκβάλω σε
and the eggs but all(-things) I-will-do until — I-get you
ἐκ τῆς φυλακῆς. Καὶ ἀπελθὼν παρεκάλεσέν τινας τῶν
out of-the prison and having-gone-off he-besought some of-the

μεγάλων· ἦν γὰρ γνωστὸς αὐτοῖς, διὰ τὴν ἀρετὴν
great(-ones) he-was for known to-them for the virtue
αὐτοῦ· καὶ πέμψαντες ἐξέβαλον αὐτὸν ἐκ τῆς φυλακῆς.
of-him and having-sent they-got him-out from the prison
Ἔλεγέν τις τῶν γερόντων, ὅτι Παρέβαλεν ἡμῖν γέρων 212
said one of-the old-men that visited us old-man
ἐνάρετος· καὶ ἀναγινωσκόντων ἡμῶν εἰς τὸν παράδεισον
virtuous and reading us in the garden
τὰ ἀποφθέγματα τῶν ἁγίων Πατέρων· ἠγάπα γὰρ ὁ
the sayings of-the holy Fathers loved for the
γέρων πάντοτε διέρχεσθαι αὐτὰ, καὶ ἔνδον αὐτὰ ἐνέπνεεν,
old-man always to-go-through them and within them he-breathed
ὅθεν καὶ ἐξ αὐτῶν ἐκαρπώσατο πᾶσαν ἀρετήν· ὅτε δὲ
whence also from them he-reaped every virtue when and
ἤλθομεν εἰς τὸν γέροντα ἐκεῖνον, πρὸς ὃν ἦλθον οἱ
we-came to the old-man that to whom came the
λῃσταὶ, καὶ εἶπον αὐτῷ, ὅτι Πάντα τὰ ἐν κέλλῃ
robbers and said to-him that all the(-things) in cell
σου λαβεῖν ἤκαμεν· καὶ αὐτοῦ εἰπόντος· Ὅσα δοκεῖ
of-you to-take we-have-come and him having-said as-much-as seems(-good)
ὑμῖν, τέκνα, λάβετε. Λαβόντες πάντα, καὶ ἀπελθόντες,
to-you children take having-taken all and having-gone-off
ἐπελάθοντο τὸ μαρσύππιον ὃ ἦν ἐν τῷ κρεμάμενον. Ὁ
they-forgot the bag which was in the hanging the
οὖν γέρων, φησὶν, λαβὼν τοῦτο, ἐπεδίωξεν ὀπίσω αὐτῶν,
then old-man he-says having-taken this pursued after them
βοῶν καὶ λέγων αὐτοῖς· Τέκνα, λάβεσθε παρ᾽ ἐμοῦ ὃ
shouting and saying to-them children take from me what
ἐπελάθεσθε ἐν τῷ κελλίῳ ἡμῶν. Οἱ δὲ θαυμάσαντες ἐπὶ
you-forgot in the cell of-us they and having-marveled at
τῇ ἀνεξικακίᾳ τοῦ γέροντος, ἀπεκατέστησαν αὐτῷ πάντα
the forbearance of-the old-man restored to-him all

τὰ ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ μετενόησαν, εἰπόντες
the(-things) in the cell of-him and repented having-said
πρὸς ἀλλήλους· Ἀληθῶς οὗτος ἄνθρωπος τοῦ Θεοῦ ἐστιν.
to one-another truly this(-one) man — of-God is
Ὡς οὖν ἀνεγνώκαμεν τοῦτο, λέγει μοι ὁ γέρων· Οἶδας,
when then we-had-read this says to-me the old-man do-you-know
ἀββᾶ; τοῦτο τὸ ἀπόφθεγμα πάνυ με ὠφέλησεν. Λέγω
abba this the saying very me benefited I-say
αὐτῷ· Πῶς, Πάτερ; Καὶ λέγει μοι· Ποτὲ μὲν ὄντος μου ἐν
to-him how Father and he-says to-me once indeed being me in
τοῖς τόποις τοῖς κατὰ τὸν Ἰορδάνην, ἀνέγνων τοῦτο, καὶ
the places the(-ones) by the Jordan I-read this and
ἐθαύμαζον τὸν γέροντα, καὶ ἔλεγον· Κύριε, καταξίωσόν με
marveled-at the old-man and said Lord deem-worthy me
κατ᾽ ἴχνος τούτου ἐλθεῖν, ὁ καταξιώσας με ἐλθεῖν εἰς
in track of-this(-one) to-come the(-one) having-deemed-worthy me to-come into
τὸ σχῆμα τοῦτο. Ὡς οὖν εἶχον τὸν πόθον τοῦτον, μετὰ δύο
the habit this when then I-had the longing this after two
ἡμέρας ἰδοὺ λῃσταὶ ἐπιῤῥίπτουσιν. Ὡς οὖν ἔκρουσαν τὴν
days behold robbers burst-in when then they-knocked-at the
θύραν, καὶ ἔγνων ὅτι λῃσταί εἰσιν, εἶπον ἐμαυτῷ· Χάρις τῷ
door and I-knew that robbers they-are I-said to-myself thanks —
Θεῷ, ἰδοὺ καιρὸς ἐνδείξασθαι τὸν καρπὸν τοῦ πόθου μου.
to-God behold time to-show the fruit of-the longing of-me
Ἀνοίξας δὲ, ἐδεξάμην αὐτοὺς μετὰ ἱλαρότητος, ἧψα δὲ
having-opened and I-received them with cheerfulness I-lit and
λύχνον, καὶ ἠρξάμην δεικνύειν αὐτοῖς τὰ πράγματα, λέγων·
lamp and began to-show them the things saying
Μὴ θορυβεῖσθε, πιστεύω τῷ Κυρίῳ, ὅτι οὐ μὴ κρύψω ἀφ᾽
not be-disturbed I-trust in-the Lord that not — I-will-hide from
ὑμῶν τί ποτε. Λέγουσίν μοι· Ἔχεις χρυσίον; Λέγω αὐτοῖς·
you any thing they-say to-me have-you gold I-say to-them

Ναὶ, ἔχω τρία νομίσματα. Ἤνοιξα οὖν τὸ σκεῦος ἔμπροσθεν
yes I-have three solidi I-opened then the vessel before
αὐτῶν. Καὶ λαβόντες ἀπῆλθον μετ᾽ εἰρήνης. Ἐγὼ δὲ
them and having-taken(-them) they-went-off with peace I and
χαριέντως εἶπον αὐτῷ· Ὑπέστρεψαν, ὥσπερ ἐκεῖνοι ἐπὶ
gracefully said to-him did-they-return as those(-did) in-the-case-of
τοῦ γέροντος; Ὁ δὲ λέγει μοι εὐθέως· Οὔ· μὴ ποιήσῃ
the old-man he and says to-me at-once no not may-make(-it-so)
ὁ Θεός. Οὐ γὰρ τοῦτο ἤθελον, ἵνα ὑποστρέψωσιν.
— God not for this I-wished that they-should-return
Ἔλεγέν τις τῶν γερόντων περὶ θείων τεράτων γινομένων 213
said one of-the old-men about divine portents happening
καὶ νῦν ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, διὰ τὰς ἀναφυείσας
also now in the — of-God Church through the having-sprung-up
καὶ ἀναφυομένας ἀθέους αἱρέσεις, καὶ μάλιστα διὰ τὴν
and springing-up godless heresies and especially through the
τοῦ ἀκεφάλου Σευήρου καὶ τῶν λοιπῶν ὀλεθρίων σχίσματα,
of-the acephalous Severus and of-the rest destructive schisms
πρὸς ἀσφάλειαν καὶ βεβαίωσιν τῶν ἀσθενεστέρων ψυχῶν,
for safety and confirmation of-the weaker souls
καὶ τὴν αὐτῶν ἐκείνων εἰ βούλοιντο ἐπιστροφήν. Πρὸς
and the of-them those if they-should-wish conversion besides
γὰρ διὰ τῶν θείων Πατέρων, καὶ εἴ τι ἄνωθεν διὰ
for through the divine Fathers and if anything formerly through
τῶν ἁγίων μαρτύρων ὁσημέραι γινομένων σημείων, ἐν
the holy martyrs daily happening signs in
τῇ καθολικῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἔτι καὶ σήμερον.
the catholic — of-God Church still even today
Σοροῦδα κώμη τίς ἐστιν ὑπὸ τὴν ἐνορίαν τῆς πόλεως 214
Sorouda village a-certain is under the jurisdiction of-the city
Κοιανέων, ἐν ᾗ ἐστιν φώτισμα, ἐν τοῖς ἁγίοις Θεοφανίοις
of-the-Coianeis in which is font at the holy Theophany

ἱδροῦν, καὶ ἐκ τῶν ἱδρώτων γεμιζόμενον διὰ τριῶν
sweating and from the sweats being-filled over three
ὡρῶν, καὶ μετὰ τὸ βάπτισμα πάλιν, οὐκ ἀθρόως, ἀλλὰ
hours and after the baptism again not suddenly but
κατὰ μέρος, διὰ τῶν αὐτῶν τριῶν ὡρῶν μειούμενον.
by part over the same three hours diminishing
215 Ἔστι δὲ καὶ ἐν τῇ κώμῃ Κεδρεβάτοις, τῇ οὔσῃ ὑπὸ
there-is and also in the village Kedrebata the(-one) being under
τὴν ἐνορίαν Οἰνοανδῶν τῆς πόλεως, φώτισμα, ὅπερ ἐν
the jurisdiction of-the-Oenoandans the city font which-very at
τῇ πασχαλίᾳ ἑορτῇ τῆς ἀναστάσεως, μονόλιθον ὂν, ἀφ᾽
the paschal feast of-the resurrection one-stone being of
ἑαυτοῦ γεμίζεται ἄφνω, καὶ κρατεῖ ἕως τῆς Πεντηκοστῆς
itself is-filled suddenly and holds until the Pentecost
τὸ ὕδωρ, καὶ ἄφνω μετὰ τὴν Πεντηκοστὴν ἀφανὲς
the water and suddenly after the Pentecost invisible
γίνεται. Ταῦτα ἀμφότερα θαύματα, ἐν τῇ ἐπαρχίᾳ τῆς
becomes these both wonders(-are) in the province —
Λυκίας. Εἰ δὲ τούτοις τις ἀπιστήσει, οὐ πολὺς μέχρι
of-Lycia if and these anyone will-disbelieve not great as-far-as
τῆς Λυκίας ὁ σκυλμὸς, πρὸς πληροφορίαν τῆς ἀληθείας.
— Lycia the trouble for assurance of-the truth
216 Ἄλλοτε γενομένου μου εἰς τὴν ἁγίαν πόλιν, ἔρχεταί
another-time having-been me in the holy city comes
τις φιλόχριστος, καὶ λέγει μοι· Ἐπειδὴ μικρὰν ἀηδίαν
a-certain Christ-lover and says to-me since small unpleasantness
ἐσχήκαμεν μετ᾽ ἀλλήλων, ἐγώ τε καὶ ὁ ἀδελφός μου, καὶ
we-have-had with one-another I both and the brother of-me and
οὐ θέλει διαλλαγῆναί μοι, ἀλλὰ παρακλήθητι, καὶ λάλησον
not he-wishes to-be-reconciled to-me but be-entreated and speak
αὐτῷ. Ἐγὼ δὲ μετὰ χαρᾶς δεξάμενος τὸν λόγον, καὶ καλέσας
to-him I and with joy having-received the word and having-called

τὸν ἀδελφὸν αὐτοῦ, ἐλάλησα αὐτῷ τὰ συντείνοντα
the brother of-him I-spoke to-him the(-things) tending
αὐτῷ εἰς ἀγάπην καὶ εἰρήνην. Καὶ ἔδοξε μὲν πείθεσθαί
for-him to love and peace and he-seemed indeed to-be-persuaded
μοι. Ὕστερον δὲ λέγει μοι· Οὐ δύναμαι διαλλαγῆναι αὐτῷ,
by-me later and he-says to-me not I-can be-reconciled to-him
ὅτι ὤμοσα εἰς τὸν σταυρόν. Ἐγὼ δὲ ὑπομειδιάσας εἶπον
because I-swore by the cross I and having-smiled said
αὐτῷ· Ὁ ὅρκος σου τοιαύτην δύναμιν ἔχει ὅτι μὰ τὸν τίμιον
to-him the oath of-you such power has that by the precious
σταυρὸν, Χριστὲ, οὐ μὴ φυλάξω τὰς ἐντολάς σου, ἀλλὰ
cross Christ not — I-will-keep the commandments of-you but
τὸ θέλημα τοῦ ἐχθροῦ σου τοῦ διαβόλου ποιήσω. Καὶ γὰρ
the will of-the enemy of-you the devil I-will-do and for
οὐκ ὀφείλομεν μόνον στῆσαι τὸ κακῶς ὁρισθὲν ὑφ'
not we-ought only to-make-stand the(-thing) wickedly determined by
ἡμῶν, ἀλλὰ καὶ μᾶλλον μετανοεῖν καὶ θλίβεσθαι ἐφ' οἷς
us but also rather to-repent and to-be-afflicted at what-things
κακῶς ὡριζόμεθα καθ' ἑαυτῶν· καθώς φησιν ὁ θεοφόρος
wickedly we-determined against ourselves as says the God-bearing
Βασίλειος. Καὶ γὰρ Ἡρώδης εἰ μετενόησεν, καὶ μὴ ἔστησεν
Basil and for Herod if he-had-repented and not made-stand
τὸν ὅρκον αὐτοῦ, οὐκ ἂν εἰργάσατο τὸ μέγα ἁμάρτημα
the oath of-him not — he-would-have-committed the great sin
ἐκεῖνο, ἀποκεφαλίσας τὸν τοῦ Χριστοῦ πρόδρομον. Καὶ
that having-beheaded the — of-Christ forerunner and
λοιπὸν ἤνεγκα αὐτῷ τὴν χρῆσιν τοῦ ἁγίου Βασιλείου,
moreover I-brought to-him the citation of-the holy Basil
ἣν ἤνεγκεν ἐκ τοῦ Εὐαγγελίου, ὅτε ἠθέλησεν ὁ Κύριος
which he-brought from the Gospel when wished the Lord
νίψαι τοὺς πόδας τοῦ ἁγίου Πέτρου, κἀκεῖνος ἀντεῖπεν.
to-wash the feet of-the holy Peter and-that(-one) objected

217 Εἶπεν γέρων· Τεκνία, τὸ ἅλας ἐκ τοῦ ὕδατός ἐστιν, καὶ ἐὰν
said old-man little-children the salt from the water is and if
προσεγγίσῃ ὕδατι, λύεται καὶ ἀφανίζεται. Ὁμοίως καὶ ὁ
it-approach water it-is-dissolved and vanishes likewise also the
μοναχὸς ἐκ τῆς γυναικός ἐστιν, καὶ ἐὰν προσεγγίσῃ γυναικὶ,
monk from the woman is and if he-approach woman
λύεται, καὶ εἰς τὸ μὴ εἶναι, μοναχὸς δηλονότι, τελευτᾷ.
he-is-dissolved and into the not to-be monk evidently he-dies

218 Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Σέργιος ὁ ἡγούμενος τῆς μονῆς
related to-us — abba Sergius the abbot of-the monastery
τοῦ ἀββᾶ Κωνσταντίνου, ὅτι Ποτὲ ὁδευόντων μετά τινος
— of-abba Constantine that once traveling with a-certain
ἁγίου γέροντος, ἐπλανήθημεν τὴν ὁδὸν, καὶ μὴ θελόντων
holy old-man we-strayed-from the road and not wishing
ἡμῶν, μηδὲ γινωσκόντων ἡμῶν ποῦ πορευώμεθα, ηὑρέθημεν
us nor knowing us where we-were-going we-were-found
εἰς τὰ σπόριμα, καὶ κατεπατήσαμεν ὀλίγα τῶν σπορίμων.
in the sown(-fields) and trampled few of-the sown(-crops)
Ἠσθημένος δὲ ὁ γεωργὸς [ὃς] ηὑρέθη ἐκεῖ ἐργαζόμενος,
having-noticed and the farmer who was-found there working
ἤρξατο ὑβρίζειν πολλὰ μετ' ὀργῆς, καὶ λέγειν οὕτως· Ὑμεῖς
began to-insult much with anger and to-say thus you(-are)
μοναχοί; Ὑμεῖς φοβεῖσθε τὸν Θεόν; Εἰ εἴχετε τὸν φόβον
monks you fear — God if you-had the fear
τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν, τοῦτο οὐκ ἐποιεῖτε. Εὐθέως
— of-God before eyes this not you-would-do at-once
δὲ λέγει ἡμῖν ὁ ἅγιος γέρων· Διὰ τὸν Κύριον, μηδεὶς
and says to-us the holy old-man for the Lord no-one
λαλήσῃ. Καὶ ἔλεγεν αὐτῷ· Καλῶς λέγεις, τέκνον μου· εἰ
speak and he-said to-him well you-say child of-me if
γὰρ εἴχομεν τὸν φόβον τοῦ Θεοῦ, ταῦτα οὐκ ἐποιοῦμεν.
for we-had the fear — of-God these(-things) not we-would-do

Πάλιν ἐκεῖνος ὕβριζεν μετὰ θυμοῦ. Πάλιν λέγει ὁ γέρων·
again that(-one) insulted with rage again says the old-man
Ἐν ἀληθείᾳ λέγεις, τέκνον, εἰ ἤμεθα ἀληθινοὶ μοναχοὶ, οὐκ
in truth you-say child if we-were true monks not
ἂν τοῦτο ἐποιήσαμεν. Ἀλλὰ διὰ τὸν Κύριον συγχώρησον,
— this we-would-have-done but for the Lord forgive(-us)
ὅτι ἡμάρτομεν. Ἐκπλαγεὶς οὖν ἐκεῖνος, ἐλθὼν ἔῤῥιψεν
that we-sinned astounded then that(-one) having-come threw
ἑαυτὸν εἰς τοὺς πόδας τοῦ γέροντος, λέγων· Ἡμάρτηκα,
himself at the feet of-the old-man saying I-have-sinned
συγχώρησόν μοι· καὶ διὰ τὸν Κύριον λάβετέ με μεθ'
forgive me and for the Lord take me with
ὑμῶν. Καὶ ἔλεγεν ὁ μακάριος Σέργιος, ὅτι Ἐπ' ἀληθείας
you and said the blessed Sergius that in truth
μεθ' ἡμῶν ἠκολούθησεν, καὶ ἐλθὼν, ἔλαβεν τὸ σχῆμα.
with us he-followed and having-come received the habit
Διηγήσατό μοι γέρων πρᾶγμα τοιοῦτον, ὅτι Ποτὲ ἐκάθισα 219
related to-me old-man thing such that once I-sat
μικρὸν χρόνον εἰς τὴν λαύραν τοῦ ἀββᾶ Γερασίμου, καὶ
little time in the laura — of-abba Gerasimus and
ἔσχον τινὰ ἀγαπητόν. Καθημένων δὲ ἡμῶν μιᾶς τῶν
I-had a-certain beloved(-friend) sitting and us on-one of-the
ἡμερῶν, καὶ λαλούντων περὶ ὠφελείας, ἐμνήσθην τὸν
days and speaking about benefit I-remembered the
λόγον τοῦτον τοῦ ἀββᾶ Ποιμένος. Καὶ λέγει μοι, ὅτι
saying this — of-abba Poemen and he-says to-me that
Ἐγὼ, πατήρ, πεῖραν ἔχω τῶν λόγων τούτων, καὶ τῆς
I father experience have of-the words these and of-the
ἀναπαύσεως τῆς ἐνεργείας αὐτῶν. Ποτὲ γὰρ ἔσχον τινὰ
rest of-the working of-them once for I-had a-certain
διδάσκαλον γνήσιον ἀγαπητὸν τῆς λαύρας, καὶ οὐχ οἶδα
teacher genuine beloved of-the laura and not I-know

πόθεν εἶχεν εἰς ἐμὲ ὑπόνοιαν περὶ πράγματος φέροντος
whence he-had toward me suspicion about matter bringing
αὐτῷ λύπην, καὶ ἤρξατο στυγνάζειν μοι. Ἰδὼν δὲ
him grief and he-began to-be-gloomy toward-me having-seen and
αὐτὸν ἐγὼ στυγνὸν, ἠρώτησα μαθεῖν τὴν αἰτίαν. Καὶ λέγει
him I gloomy I-asked to-learn the cause and he-says
μοι· Ὅτι τόδε τὸ πρᾶγμα ἐποίησας. Ἐγὼ δὲ μὴ συνειδὼς
to-me that this the thing you-did I and not being-conscious
ἐμαυτῷ, παντελῶς τοιοῦτον πρᾶγμα ποιήσαντα, ἠρξάμην
in-myself at-all such thing having-done began
πληροφορεῖν αὐτὸν, ὅτι Οὐ σύνοιδα ἐμαυτῷ τοῦτο
to-assure him that not I-am-conscious in-myself this
ποιήσαντα. Λέγει μοι· Συγχώρησον, οὐ πληροφοροῦμαι.
having-done he-says to-me forgive(-me) not I-am-assured
Ἀναχωρήσας δὲ ἐγὼ εἰς τὸ κελλίον μου, ἠρξάμην ἐρευνᾶν
having-withdrawn and I to the cell of-me began to-search
τὴν καρδίαν μου, εἴ τι τοιοῦτον πρᾶγμα πέπρακταί
the heart of-me if any such thing had-been-done
μοι, καὶ οὐχ ηὕρισκον. Βλέπω οὖν αὐτὸν κατέχοντα τὸ
by-me and not I-found(-it) I-see then him holding the
ἅγιον ποτήριον, καὶ ἐπιδιδόντα· καὶ ὀμνύω αὐτῷ κατ᾽
holy cup and giving(-communion) and I-swear to-him by
αὐτοῦ, ὅτι οὐ σύνοιδα ἐμαυτῷ τοῦτο ποιήσαντι· καὶ οὐκ
it that not I-am-conscious in-myself this having-done and not
ἐπείσθη. Ἐλθὼν οὖν πάλιν εἰς ἐμαυτὸν, καὶ μνησθεὶς
he-was-persuaded having-come then again to myself and having-remembered
τούτων τῶν λόγων τῶν ἁγίων Πατέρων, καὶ πιστεύσας
these the words of-the holy Fathers and having-trusted
αὐτοῖς, ἔστρεψα μικρὸν τὸν λογισμόν μου, καὶ λέγω ἐν
them I-turned a-little the thought of-me and I-say in
ἐμαυτῷ· Διάκων γνησίως ἀγαπᾷ με, καὶ ἀπὸ ἀγάπης
myself deacon genuinely loves me and from love

κινούμενος ἐθάῤῥησέν μοι ὃ εἶχεν ἡ καρδία αὐτοῦ περὶ
moved he-dared(-to-tell) me what had the heart of-him about
ἐμοῦ, ἵνα νήψω, καὶ τοῦ λοιποῦ φυλάξω ἐμαυτὸν,
me so-that I-may-be-sober and for-the rest guard myself
καὶ μὴ ποιήσω αὐτό. Πλὴν ψυχὴ ἀθλία, ἐπειδὴ λέγεις,
and not do it but soul wretched since you-say
Οὐκ ἐποίησα τὸ πρᾶγμα τοῦτο, μυρία κακὰ οὐ πέπρακταί
not I-did the thing this myriad evils not have-been-done
σοι, καὶ ἔλαθες αὐτά; Ποῦ εἰσιν τὰ ἐποίησας χθὲς
by-you and you-forgot them where are the(-things) you-did yesterday
ἢ πρόχθες, ἢ πρὸ δέκα ἡμερῶν; μέμνησαι αὐτῶν;
or the-day-before-yesterday or before ten days do-you-remember them
οὐκοῦν καὶ τοῦτο ἐποίησας ὡς ἐκεῖνα, καὶ ἔλαθες,
therefore also this you-did as those(-things) and you-forgot(-it)
ὡς καὶ τὰ πρῶτα. Καὶ οὕτως διέθηκα τὴν καρδίαν
as also the first(-things) and thus I-disposed the heart
μου, ὅτι ἐν ἀληθείᾳ ἐποίησα αὐτὸ, ἀλλ' ὥσπερ ἔλαθον
of-me that in truth I-did it but as I-forgot
τὰ πρῶτα, οὕτως καὶ τοῦτο. Ἤρξάμην οὖν εὐχαριστεῖν
the first(-things) thus also this I-began then to-thank
τῷ Θεῷ, καὶ τῷ διακόνῳ, ὅτι δι' αὐτοῦ κατηξίωσέν
— God and the deacon that through him deemed-worthy
με ὁ Κύριος ἐπιγνῶναι τὸ σφάλμα μου, καὶ μετενόησα
me the Lord to-recognize the fault of-me and I-repented
περὶ αὐτοῦ. Ἀναστὰς οὖν ἐν τοιούτοις λογισμοῖς, ἦλθον
about it having-risen then in such thoughts I-came
μετανοῆσαι τῷ διακόνῳ, καὶ εὐχαριστῆσαι αὐτῷ, ὅτι
to-make-penitence to-the deacon and to-thank him that
δι' αὐτοῦ ἔγνων τὸ σφάλμα μου. Καὶ ὡς ἔκρουσα εἰς
through him I-knew the fault of-me and as I-knocked at
τὴν θύραν αὐτοῦ, ἀνοίξας βάλλει μοι μετάνοιαν πρῶτος,
the door of-him having-opened he-makes to-me penitence first

λέγων· Συγχώρησόν μοι, ὅτι ἀπὸ δαιμόνων ἐχλευάσθην,
saying forgive me because by demons I-was-mocked
ὑπονοήσας περὶ σοῦ εἰς τὸ πρᾶγμα ἐκεῖνο. Ἐν ἀληθείᾳ
having-suspected about you in the thing that in truth
γὰρ ἐπληροφόρησέν με ὁ Θεὸς, ὅτι οὐκ ἔχεις πρᾶγμα.
for assured me — God that not you-have(-any) matter
Καὶ ἔλεγεν ὅτι οὐδὲ ἀφῆκέν με πληροφορῆσαι αὐτὸν,
and he-said that not-even he-let me to-assure him
λέγων· Οὐκ ἔστιν χρεία. Καὶ μεγάλως ὠφεληθεὶς, ἐδόξασα
saying not is need and greatly benefited I-glorified
Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα· ᾧ πρέπει κράτος,
Father and Son and holy Spirit to-whom befits might
καὶ μεγαλοπρέπεια, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
and magnificence to the ages of-the ages Amen